# ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ[1]

## [Prologue]

**1**.1 Εν αρχη ἠν ὁ Λογος, και ὁ Λογος ἠν προς τον Θεον, και **Θεος** ἠν ὁ Λογος. 2 Οὑτος
ἠν εν αρχη προς τον Θεον. 3 Παντα δι' αυτου εγενετο, και χωρις αυτου εγενετο ουδε ἑν ὃ
γεγονεν. 4 Εν αυτω ζωη ἠν, και ἡ ζωη ἠν το φως των ανθρωπων. 5 Και το φως εν τη
σκοτια φαινει, και ἡ σκοτια αυτο οὐ κατελαβεν.

*[John—a witness to the Light]*

6 Εγενετο ανθρωπος απεσταλμενος παρα Θεου, ονομα αυτω Ιωαννης. 7 Οὑτος ηλθεν
εις μαρτυριαν, ἱνα μαρτυρηση περι του φωτος, ἱνα παντες πιστευσωσιν δι' αυτου. 8 Ουκ
ἠν εκεινος το φως αλλ' ἱνα μαρτυρηση περι του φωτος. 9 Ἠν το φως το αληθινον ὃ
φωτιζει παντα ανθρωπον ερχομενον εις τον κοσμον. 10 Εν τω κοσμω ἠν, και ὁ κοσμος δι'
αυτου εγενετο, και ὁ κοσμος αυτον ουκ εγνω. 11 Εις τα ιδια ηλθεν, και οἱ ιδιοι αυτον ου
παρελαβον. 12 Ὁσοι δε ελαβον αυτον, εδωκεν αυτοις εξουσιαν τεκνα Θεου γενεσθαι, τοις
πιστευουσιν εις το ονομα αυτου: 13 οἳ ουκ εξ αἱματων, ουδε εκ θεληματος σαρκος, ουδε εκ
θεληματος ανδρος, αλλ' εκ Θεου εγεννηθησαν.

*[Jesus—the Only-begotten]*

14 Και ὁ Λογος σαρξ εγενετο και εσκηνωσεν εν ἡμιν, και εθεασαμεθα την δοξαν
αυτου, δοξαν ὡς μονογενους, παρα Πατρος, πληρης χαριτος και αληθειας. 15 Ιωαννης
μαρτυρει περι αυτου και κεκραγεν λεγων, "Οὑτος ἠν ὃν ειπον, 'Ὁ οπισω μου ερχομενος
εμπροσθεν μου γεγονεν, ὁτι πρωτος μου ἠν'." 16 Και[2] εκ του πληρωματος αυτου ἡμεις
παντες ελαβομεν, και χαριν αντι χαριτος. 17 Ὁτι ὁ νομος δια Μωσεως[3] εδοθη· ἡ χαρις
και ἡ αληθεια δια Ιησου Χριστου εγενετο. 18 Θεον ουδεις ἑωρακεν πωποτε. Ὁ μονογενης
Υἱος,[4] ὁ ων εις τον κολπον του Πατρος, εκεινος εξηγησατο.

## [John the baptizer performs his office]

**1**.19 Και αὑτη εστιν ἡ μαρτυρια του Ιωαννου, ὁτε απεστειλαν[5] οἱ Ιουδαιοι εξ Ἱεροσο-
λυμων ἱερεις και Λευιτας ἱνα ερωτησωσιν αυτον, "Συ τίς εἶ?" 20 Και ὡμολογησεν και
ουκ ηρνησατο, και ὡμολογησεν ὁτι "Ουκ ειμι εγω[6] ὁ Χριστος". 21 Και ηρωτησαν αυτον,
"Τί ουν, Ηλιας εἶ συ?"[7] Και λεγει, "Ουκ ειμι". "Ὁ Προφητης εἶ συ?" Και απεκριθη,
"Ου". 22 Ειπον[8] ουν αυτω, "Τίς εἶ?—ἱνα αποκρισιν δωμεν τοις πεμψασιν ἡμας. Τί λεγεις
περι σεαυτου?" 23 Εφη, "Εγω φωνη βοωντος: 'Εν τη ερημω ευθυνατε την ὁδον Κυριου',
καθως ειπεν Ἡσαιας[9] ὁ προφητης."

24 Και οἱ[10] απεσταλμενοι ησαν εκ των Φαρισαιων. 25 Και ηρωτησαν αυτον και
ειπον[11] αυτω, "Τί ουν βαπτιζεις ει συ ουκ εἶ ὁ Χριστος ουτε[12] Ηλιας ουτε ὁ Προφητης?"

---

[1] Both the text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©. I venture to affirm to the reader that all original wording of John is preserved in this edition, if not in the Text, at least in the apparatus. "Diminish not a word" Jeremiah 26:2 (see Deut. 4:2 and Luke 4:4, "every word" [as in 99.6% of the MSS]). The last note at the end of this book gives explanation about the apparatus.

[2] και **$f^{35}$** A,W [99%] CP,HF,RP,OC,TR || οτι $P^{66,75}$ℵB,C,D [1%] NU

[3] μωσεως **$f^{35}$** A [95%] CP,HF,RP,TR || μωυσεως $P^{66,75}$ℵB,C,W [5%] OC,NU

[4] ο μονογενης υιος **$f^{35}$** A(W) (99%) HF,RP,OC,TR || 1 μονογεννης 3 (0.6%) CP || 12 θεος $P^{75}$ (0.1%) || 2 θεος $P^{66}$ℵB,C (0.3%) NU

[5] απεστειλαν **$f^{35}$** $P^{66,75}$ℵW [98%] CP,HF,RP,OC,TR || 1 προς αυτον (A)B,C [2%] [NU] (A [1.5%] place it after λευιτας.)

[6] ουκ ειμι εγω **$f^{35}$** [99%] CP,HF,RP,OC,TR || ~ 312 $P^{66,75}$ℵA,B,C,W [1%] NU

[7] τι ουν ηλιας ει συ **$f^{35}$** A [99%] CP,HF,RP,OC,TR || ~ 12534 ($P^{75}$)C [0.3%] NU || ~ 52134 B || 1234 ℵ [0.2%] || ~ τις 2534 $P^{66}$ || ~ παλιν 12543 W || three further variants

[8] ειπον **$f^{35}$** ℵA,N [99.5%] CP,HF,RP,OC,TR || ειπαν $P^{66,75}$B,C,W [0.5%] NU (A similar statement obtains in 1.25,38; 2.18,20; 3.26; 9.20; 11.46; 12.19.)

[9] ἡσαιας **$f^{35}$** CP,OC,TR? || ησαιας *rell* (A similar statement will obtain wherever the name occurs.)

[10] οι **$f^{35}$** N,W [99%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵA,B,C [1%] NU

[11] ειπον *rell* || ειπαν $P^{66,75}$B,C,NU

[12] ουτε **$f^{35}$** [98%] CP,HF,RP,OC,TR || ουδε $P^{(5)66,75}$ℵA,B,C,N,W [2%] NU (Both times.)

26 Απεκριθη αυτοις ὁ Ιωαννης λεγων, “Εγω βαπτιζω εν ὑδατι, μεσος δε[1] ὑμων ἑστηκεν ὃν
ὑμεις ουκ οιδατε. 27 Αυτος εστιν ὁ[2] οπισω μου ερχομενος, ὃς εμπροσθεν μου γεγονεν,[3] οὗ
εγω ουκ ειμι αξιος[4] ἱνα λυσω αυτου τον ἱμαντα του ὑποδηματος.”[5] 28 Ταυτα εν Βιθαβαρα
εγενετο,[6] περαν του Ιορδανου, ὁπου ἦν[7] Ιωαννης βαπτιζων.

*[“Behold the Lamb of God!”]*

29 Τη επαυριον βλεπει ὁ Ιωαννης[8] τον Ιησουν ερχομενον προς αυτον και λεγει:
“Ιδε, ὁ Αμνος του Θεου ὁ αιρων την ἁμαρτιαν του κοσμου! 30 Οὑτος εστιν περι[9] οὗ εγω
ειπον, ‘Οπισω μου ερχεται ανηρ ὃς εμπροσθεν μου γεγονεν, ὁτι πρωτος μου ἦν’. 31 Καγω
ουκ ηδειν αυτον· αλλ’ ἱνα φανερωθη τω Ισραηλ, δια τουτο ηλθον εγω εν τω[10] ὑδατι
βαπτιζων.”

32 Και εμαρτυρησεν[11] Ιωαννης λεγων ὁτι “Τεθεαμαι το Πνευμα καταβαινον ὡς[12]
περιστεραν εξ ουρανου, και εμεινεν επ’ αυτον. 33 Καγω ουκ ηδειν αυτον, αλλ’ ὁ πεμψας με
βαπτιζειν εν ὑδατι, εκεινος μοι ειπεν, ‘Εφ’ ὃν αν ιδης το Πνευμα καταβαινον και μενον
επ’ αυτον—οὑτος εστιν ὁ βαπτιζων εν Πνευματι ‘Αγιω.’ 34 Καγω ἑωρακα και μεμαρτυρηκα
ὁτι οὑτος εστιν ὁ Υἱος του Θεου.”

[Jesus begins His public ministry]

**1**.35 Τη επαυριον παλιν εἱστηκει ὁ Ιωαννης και εκ των μαθητων αυτου δυο. 36 Και
εμβλεψας τω Ιησου περιπατουντι λεγει, “Ιδε, ὁ Αμνος του Θεου!” 37 Και ηκουσαν αυτου
οἱ δυο μαθηται[13] λαλουντος, και ηκολουθησαν τω Ιησου. 38 Στραφεις δε ὁ Ιησους και θεα-
σαμενος αυτους ακολουθουντας, λεγει αυτοις, “Τί ζητειτε?” Οἱ δε ειπον αυτω, “‘Ραββι” (ὃ
λεγεται ἑρμηνευομενον[14] Διδασκαλε), “που μενεις?” 39 Λεγει αυτοις, “Ερχεσθε και ιδετε”.[15]
Ηλθον[16] και ειδον[17] που μενει, και παρ’ αυτω εμειναν την ἡμεραν εκεινην—ὡρα[18] ἦν ὡς
δεκατη. 40 ’Ην Ανδρεας, ὁ αδελφος Σιμωνος Πετρου, εἱς εκ των δυο των ακουσαντων παρα
Ιωαννου και ακολουθησαντων αυτω. 41 Εὑρισκει οὑτος πρωτος[19] τον αδελφον τον ιδιον
Σιμωνα και λεγει αυτω, “Εὑρηκαμεν τον Μεσιαν”[20] (ὅ εστιν μεθερμηνευομενον[21] Χριστος).

---

[1] δε **f**$^{35}$ $P^{119}$A,N,W [99%] CP,HF,RP,OC,TR || --- $P^{66,75,120}$ℵB,C [1%] NU

[2] αυτος εστιν ο **f**$^{35}$ A (96.2%) CP,HF,RP,OC,TR || ουτος 23 (1.2%) || 12 (0.1%) || 3 $P^{66,75,119v,120}$C,N,W (2.1%) NU || --- ℵB (0.4%)

[3] ος εμπροσθεν μου γεγονεν **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || --- $P^{5,66,75,119v,120}$ℵB,C,N,W [2%] NU

[4] εγω ουκ ειμι αξιος **f**$^{35}$ A (86.4%) CP,HF,RP,OC,TR || ~ 2314 $P^{119}$B,T,W (3%) [NU] || ~ 2341 (0.2%) || 234 $P^{120v}$ℵC,N (6.9%) || 23 ικανος $P^{66,75}$ (2.5%) || 123 ικανος (0.8%) || ~ 231 ικανος (0.1%)

[5] υποδηματος *rell* || 1 εκεινος υμας βαπτισει εν πνευματι αγιω και πυρι (N) (8.9%)

[6] εν βιθαβαρα εγενετο **f**$^{35}$ [25%] || 1 βηθαβαρα 3 (ℵ$^{c}$C$^{c}$)T$^{v}$ [10%] TR || 1 βηθανια 3 $P^{75}$A,B,C,W [65%] CP,HF,RP,OC,NU || ~ 31 βηθανια $P^{66}$ℵ || 1 βηθανια εγενοντο N

[7] ην **f**$^{35}$ A,N [99.5%] CP,HF,RP,OC,TR || 1 ο $P^{66,75}$ℵB,C,W [0.5%] NU

[8] ο ιωαννης **f**$^{35}$ [50%] CP,OC,TR || --- $P^{5,66,75}$ℵA,B,C,N,W [50%] HF,RP,NU (OC has small print.)

[9] περι **f**$^{35}$ A,N (98.9%) CP,HF,RP,OC,TR || υπερ $P^{5,66,75,106}$ℵB,C,T,W (0.6%) NU || --- (0.1%) || long omission (0.4%)

[10] τω **f**$^{35}$ A,N [95%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,C,W [5%] NU

[11] εμαρτυρησεν *rell* || 1 ο [20%]

[12] ως **f**$^{35}$ $P^{75,106}$(ℵ)A,B,C,N,W [60%] OC,NU || ωσει $P^{66}$ [40%] CP,HF,RP,TR

[13] αυτου οι δυο μαθηται **f**$^{35}$ A,N (93.6%) CP,HF,RP,OC,TR || αυτω 234 (0.7%) || αυτον 234 (0.2%) || ~ 2341 ℵB (1.6%) NU || ~ 2314 $P^{66,75}$C,W (1.1%) || 12341 (1.1%) || 124 (0.5%) || 134 (0.2%) || 234 (0.4%) || five other variants (0.4%)

[14] λεγεται ερμηνευομενον **f**$^{35}$ ℵ (94.5%) CP,HF,RP,OC,TR || 1 μεθερμηνευομενον $P^{66,75}$A,B,C,N(W) (3.1%) NU || ερμηνευεται (0.5%) || εστιν (1.3%) || εστιν μεθερμηνευομενον (0.2%) || --- (0.4%) || two other variants (0.1%)

[15] ιδετε **f**$^{35}$ ℵA [98%] CP,HF,RP,OC,TR || ιδεται N || οψεσθε $P^{5,66,75}$B,C [2%] NU || οψεσθαι W

[16] ηλθον **f**$^{35}$ [98%] CP,HF,RP,TR || 1 ουν ℵA,N [1.5%] OC || ηλθαν ουν $P^{5v,66,75}$B,C,W [0.5%] NU

[17] ειδον **f**$^{35}$ ℵA [99.5%] CP,HF,RP,OC,TR || ειδαν $P^{66,75}$B,C,W [0.5%] NU || ιδον N

[18] ωρα **f**$^{35}$ $P^{66,75}$ℵA,B,C,W [95%] CP,HF,RP,OC,NU || 1 δε [5%] TR

[19] πρωτος **f**$^{35}$ ℵW [95%] CP,HF,RP,OC,TR || πρωτον $P^{66,75}$A,B [5%] NU

[20] μεσιαν **f**$^{35}$ [95%] CP,HF,RP || μεσσιαν $P^{66,75}$ℵA,B,W [5%] OC,TR,NU

[21] μεθερμηνευομενον *rell* || 1 ο [5%] TR

42 Και[1] ηγαγεν αυτον προς τον Ιησουν. Εμβλεψας[2] αυτω ὁ Ιησους ειπεν, "Συ ει Σιμων, ὁ
υἱος Ιωνα·[3] συ κληθηση Κηφας" (ὃ ἑρμηνευεται, πετρος).

*[Nathanael]*

43 Τη επαυριον ηθελησεν[4] εξελθειν εις την Γαλιλαιαν, και εὑρισκει Φιλιππον και
λεγει αυτω,[5] "Ακολουθει μοι". 44 (Ἠν δε ὁ Φιλιππος απο Βηθσαιδα, εκ της πολεως Ανδρεου
και Πετρου.) 45 Εὑρισκει Φιλιππος τον Ναθαναηλ και λεγει αυτω, "'Ὁν εγραψεν Μωσης[6]
εν τω Νομω—και οἱ Προφηται—εὑρηκαμεν: Ιησουν τον[7] υἱον[8] Ιωσηφ, τον απο Ναζαρετ."[9]
46 Και ειπεν αυτω Ναθαναηλ, "Εκ Ναζαρετ δυναται τι αγαθον ειναι?" Λεγει αυτω[10]
Φιλιππος, "Ερχου και ιδε!"

47 Ειδεν ὁ Ιησους τον Ναθαναηλ ερχομενον προς αυτον και λεγει περι αυτου, "Ιδε,
αληθως Ισραηλιτης εν ᾧ δολος ουκ εστιν!" 48 Λεγει αυτω Ναθαναηλ, "Ποθεν με γινωσκεις?"
Απεκριθη[11] Ιησους και ειπεν αυτω, "Προ του σε Φιλιππον φωνησαι, οντα ὑπο την συκην,
ειδον σε." 49 Απεκριθη Ναθαναηλ και λεγει αυτω:[12] "'Ραββι, συ εἶ ὁ Υἱος του Θεου! Συ
εἶ ὁ Βασιλευς[13] του Ισραηλ!" 50 Απεκριθη Ιησους και ειπεν αυτω: "'Οτι ειπον σοι,[14] 'Ειδον
σε ὑποκατω της συκης', πιστευεις? Μειζω τουτων οψει."[15] 51 Και λεγει αυτω, "Αμην, αμην
λεγω ὑμιν, απ' αρτι οψεσθε[16] τον ουρανον ανεωγοτα και τους αγγελους του Θεου
αναβαινοντας και καταβαινοντας επι τον Υἱον του Ανθρωπου."

*[Water into wine]*

**2**.1 Και τη ἡμερα τη τριτη γαμος εγενετο εν Κανα της Γαλιλαιας, και ἦν ἡ μητηρ
του Ιησου εκει. 2 Εκληθη δε και ὁ Ιησους και οἱ μαθηται αυτου εις τον γαμον. 3 Και
ὑστερησαντος οινου, λεγει ἡ μητηρ του Ιησου προς αυτον, "Οινον ουκ εχουσιν!" 4 Λεγει[17]
αυτη ὁ Ιησους: "Τί εμοι και σοι, γυναι? Ουπω ἡκει ἡ ὡρα μου." 5 Λεγει ἡ μητηρ αυτου
τοις διακονοις, "'Ὁ τι αν λεγη[18] ὑμιν, ποιησατε."

6 (Ησαν δε εκει ὑδριαι λιθιναι ἑξ κειμεναι, κατα τον καθαρισμον των Ιουδαιων,[19]
χωρουσαι ανα μετρητας δυο ἢ τρεις.) 7 Λεγει αυτοις ὁ Ιησους, "Γεμισατε τας ὑδριας
ὑδατος". Και εγεμισαν αυτας ἑως ανω. 8 Και λεγει αυτοις, "Αντλησατε νυν, και φερετε
τω αρχιτρικλινω". Και[20] ηνεγκαν. 9 Ὡς δε εγευσατο ὁ αρχιτρικλινος το ὑδωρ—οινον
γεγενημενον, και ουκ ηδει ποθεν εστιν (οἱ δε διακονοι ηδεισαν οἱ ηντληκοτες το ὑδωρ)—
φωνει τον νυμφιον ὁ αρχιτρικλινος 10 και λεγει αυτω: "Πας ανθρωπος πρωτον τον καλον

---

[1] και **$f^{35}$** A,W [99%] CP,HF,RP,OC,TR || --- $P^{66,75,119v}$ℵB [0.5%] NU || ουτος [0.5%]

[2] εμβλεψας **$f^{35}$** $P^{66,106}$ℵA,B [80%] HF,RP,OC,NU || 1 δε $P^{75}$ [20%] CP,TR || και 1 W

[3] ιωνα **$f^{35}$** A (99.2%) CP,HF,RP,OC,TR || ιωαννου $P^{66,75,106}$ℵ(B)W (0.5%) NU || ιωανα (0.4%)

[4] ηθελησεν **$f^{35}$** $P^{66,75,120}$ℵA,B,W [80%] CP,HF,RP,NU || 1 ο ιησους [20%] OC,TR

[5] αυτω **$f^{35}$** [50%] OC,TR || 1 ο ιησους $P^{66,75}$(ℵ)A,B,W [50%] CP,HF,RP,NU

[6] μωσης **$f^{35}$** ℵA [95%] CP,HF,RP,TR || μωυσης $P^{66,75}$B,W [5%] OC,NU

[7] τον **$f^{35}$** A,W [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66,75,106}$ℵB [0.5%] NU

[8] υιον **$f^{35}$** A [40%] CP || 1 του $P^{66,75}$ℵB [60%] HF,RP,OC,TR,NU || τω W

[9] ναζαρετ **$f^{35}$** $P^{66}$ℵA,B [80%] CP,HF,RP,OC,TR,NU || ναζαρεθ $P^{75,106}$W [20%] (Both times.)

[10] αυτω **$f^{35}$** $P^{66}$ℵA,W [99.5%] CP,HF,RP,OC,TR || 1 ο $P^{75}$B [0.5%] [NU]

[11] απεκριθη *rell* || 1 ο ℵ [10%] TR

[12] ναθαναηλ και λεγει αυτω **$f^{35}$** A (93.6%) CP,HF,RP,OC,TR || ~ 41 $P^{66,75}$B,W (1%) NU || 12 ειπεν 4 (ℵ) (5%) ||
~ 412 ειπεν (0.2%) || two other variants (0.1%)

[13] ει ο βασιλευς **$f^{35}$** $P^{66}$ℵ [98%] CP,HF,RP,OC,TR || ~ 31 $P^{75}$A(B)W [2%] NU

[14] σοι **$f^{35}$** [98%] CP,HF,RP,OC,TR || 1 οτι $P^{66,75}$ℵA,B [2%] NU || οτι W

[15] οψει **$f^{35}$** [70%] CP,HF,RP,OC,TR || οψη $P^{66,75}$ℵA,B,W [30%] NU

[16] απ αρτι οψεσθε **$f^{35}$** A (96%) CP,HF,RP,OC,TR || 12 οψεσθαι (3%) || 3 $P^{66,75}$B (0.7%) NU || οψεσθαι ℵW (0.3%)

[17] λεγει **$f^{35}$** $P^{75}$ℵ [98%] CP,HF,RP,OC,TR || και 1 $P^{66}$A,B(W) [2%] [NU]

[18] λεγη **$f^{35}$** $P^{66,75}$ℵA,B,W [70%] HF,RP,OC,TR,NU || λεγει [30%] CP

[19] υδριαι λιθιναι εξ κειμεναι κατα τον καθαρισμον των ιουδαιων **$f^{35}$** A,$N^{v}$ (95.4%) CP,HF,RP,OC,TR || 1
λιθινοι 3456789 (0.5%) || 13456789 (0.2%) || 12456789 (0.2%) || 12356789 (0.4%) || ~ 213567894 (-4 ℵ)
$P^{66(75)}$(ℵ)B (0.9%) NU || ~ 123567894 W (0.2%) || ~ 213456789 (1%) || ~ 132456789 (0.2%) || ~ 124356789 (0.6%)
|| five other variants (0.3%)

[20] και **$f^{35}$** A [95%] CP,HF,RP,OC,TR || οι δε $P^{66,75}$ℵB,N,W [5%] NU

οινον τιθησιν, και ὁταν μεθυσθωσιν, τοτε[1] τον ελασσω. Συ τετηρηκας τον καλον οινον ἑως
αρτι!"

11 Ταυτην εποιησεν την αρχην[2] των σημειων ὁ Ιησους εν Κανα της Γαλιλαιας και
εφανερωσεν την δοξαν αυτου· και επιστευσαν εις αυτον οἱ μαθηται αυτου.

12 Μετα τουτο κατεβη εις Καπερναουμ[3]—αυτος και ἡ μητηρ αυτου και οἱ αδελφοι
αυτου και οἱ μαθηται αυτου[4]—και εκει εμειναν ου πολλας ἡμερας.

*[The first cleansing of the Temple—Passover, 27 AD]*

13 Και εγγυς ἠν το Πασχα των Ιουδαιων, και ανεβη εις Ἱεροσολυμα ὁ Ιησους.
14 Και εὑρεν εν τω ἱερω τους πωλουντας βοας και προβατα και περιστερας, και τους κερμα-
τιστας καθημενους. 15 Και ποιησας φραγελλιον[5] εκ σχοινιων,[6] παντας εξεβαλεν εκ του
ἱερου, τα τε προβατα και τους βοας· και των κολλυβιστων εξεχεεν το κερμα, και τας τραπε-
ζας ανεστρεψεν.[7] 16 Και τοις τας περιστερας πωλουσιν ειπεν: "Αρατε ταυτα εντευθεν! Μη
ποιειτε τον οικον του Πατρος μου οικον εμποριου!" 17 Εμνησθησαν δε[8] οἱ μαθηται αυτου
ὁτι γεγραμμενον εστιν, "'Ο ζηλος του οικου σου καταφαγεται[9] με".

18 Απεκριθησαν ουν οἱ Ιουδαιοι και ειπον αυτω, "Τί σημειον δεικνυεις ἡμιν, ὁτι
ταυτα ποιεις?" 19 Απεκριθη[10] Ιησους και ειπεν αυτοις, "Λυσατε τον ναον τουτον, και εν
τρισιν ἡμεραις εγερω αυτον". 20 Ειπον ουν οἱ Ιουδαιοι, "Τεσσαρακοντα[11] και ἑξ ετεσιν
ωκοδομηθη[12] ὁ ναος οὑτος, και συ εν τρισιν ἡμεραις εγερεις αυτον?" 21 Εκεινος δε ελεγεν
περι του ναου του σωματος αυτου. 22 Ὁτε ουν ηγερθη εκ[13] νεκρων, εμνησθησαν οἱ μαθηται
αυτου ὁτι τουτο ελεγεν·[14] και επιστευσαν τη Γραφη, και τω λογω ᾡ[15] ειπεν ὁ Ιησους.

23 Ὡς δε ἠν εν τοις[16] Ἱεροσολυμοις εν τω Πασχα, εν τη ἑορτη, πολλοι επιστευσαν
εις το ονομα αυτου, θεωρουντες αυτου τα σημεια ἃ εποιει. 24 Αυτος δε ὁ[17] Ιησους ουκ
επιστευεν ἑαυτον[18] αυτοις, δια το αυτον γινωσκειν παντας, 25 και ὁτι ου χρειαν ειχεν ἱνα
τις μαρτυρηση περι του ανθρωπου, αυτος γαρ εγινωσκεν τί ἠν εν τω ανθρωπω.

*[Jesus and Nicodemus]*

**3**.1 Ἠν δε ανθρωπος εκ των Φαρισαιων, Νικοδημος ονομα αυτω, αρχων των
Ιουδαιων. 2 Οὑτος ηλθεν προς τον Ιησουν νυκτος[19] και ειπεν αυτω, "'Ραββι, οιδαμεν ὁτι
απο Θεου εληλυθας διδασκαλος, ουδεις γαρ ταυτα τα σημεια δυναται[20] ποιειν ἃ συ ποιεις

---

[1] τοτε **$f^{35}$** A,N [99%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,W [1%] NU

[2] εποιησεν την αρχην **$f^{35}$** ℵW [95%] CP,HF,RP,OC,TR || 13 $P^{75}$A,B,N [5%] NU || ~ πρωτην 31 $P^{66}$

[3] καπερναουμ **$f^{35}$** A,N [99.5%] CP,HF,RP,OC,TR || καφαρναουμ $P^{66,75}$ℵB [0.5%] NU || --- W (omits phrase) (A similar statement obtains wherever the name occurs.)

[4] και η μητηρ αυτου και οι αδελφοι αυτου και οι μαθηται αυτου **$f^{35}$** A,N (91%) CP,HF,RP,OC,TR[NU] || 1-7,9-12 $P^{66,75}$B,0162 (0.5%) || 1-7,9-11 (0.2%) || ~ 1-4,9-12,5-7 (3.2%) || ~ 9-12,1-3,5-8 W (0.4%) || 1-8 ℵ (2%) || 1-4,9-12 (1.8%) || ~ 9-12,5-8 (0.2%) || 1-4 (0.4%) || four further variants (0.3%)

[5] φραγελλιον **$f^{35}$** ℵA,B,N (82.6%) CP,HF,RP,OC,TR,NU || φραγγελλιον (14.4%) || ως 1 $P^{66,75}$W,0162 (3%)

[6] σχοινιων *rell* || σχοινιου [1%] CP || σχυνιων N

[7] ανεστρεψεν **$f^{35}$** $P^{75}$A,N,0162 (85.8%) CP,HF,RP,OC,TR || ανετρεψεν $P^{66}$B,W (9.2%) NU || κατεστρεψεν ℵ (5%) || two other variants (0.1%)

[8] δε **$f^{35}$** A,N [99%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB [1%] NU || ~ και W

[9] καταφαγεται *rell* || κατεφαγε [5%] TR || καταφαγετε $P^{66}$W [1%]

[10] απεκριθη *rell* || 1 ο ℵN [10%] TR

[11] τεσσαρακοντα **$f^{35}$** [95%] CP,HF,RP,OC,TR || τεσσερακοντα $P^{66}$ℵA,B [5%] NU || μ $P^{75}$W || τεσσερεκοντα N

[12] ωκοδομηθη **$f^{35}$** A,N [99%] CP,HF,RP,OC,TR || οικοδομηθη $P^{66,75}$ℵB(W) [1%] NU

[13] εκ *rell* || 1 των [5%] CP

[14] ελεγεν **$f^{35}$** $P^{66,75}$ℵA,B,N,W [90%] HF,RP,OC,NU || 1 αυτοις [10%] CP,TR

[15] ω **$f^{35}$** A,N,W (98.2%) CP,HF,RP,OC,TR || ον $P^{66,75}$ℵB (1%) NU || αυτου (- ειπεν ο ιησους) (0.7%) || two other variants (0.1%)

[16] τοις *rell* || --- [5%] TR

[17] ο **$f^{35}$** ℵA,N,W (99.2%) CP,HF,RP,OC,TR || --- $P^{66,75}$B (0.5%) NU || omit phrase (0.2%)

[18] εαυτον **$f^{35}$** $P^{66}$N(W) [99%] CP,HF,RP,OC,TR || αυτον ℵA,B [1%] NU || --- $P^{75}$

[19] προς τον ιησουν νυκτος **$f^{35}$** N [60%] CP,TR || 1 αυτον 4 $P^{66,75}$A,B,W [40%] HF,RP,OC,NU || ~ 41 αυτον ℵ

[20] ταυτα τα σημεια δυναται **$f^{35}$** [98%] CP,HF,RP,OC,TR || ~ 4123 $P^{66,75}$ℵA,B,N [2%] NU || ~ 4231 W || two other variants

εαν μη ᾖ ὁ Θεος μετ' αυτου." 3 Απεκριθη[1] Ιησους και ειπεν αυτω, "Αμην, αμην λεγω σοι,
εαν μη τις γεννηθη Ανωθεν, ου δυναται ιδειν την βασιλειαν του Θεου." 4 Λεγει προς
αυτον[2] Νικοδημος: "Πως δυναται ανθρωπος γεννηθηναι, γερων ων? Μη δυναται εις την
κοιλιαν της μητρος αυτου δευτερον εισελθειν και γεννηθηναι?" 5 Απεκριθη[3] Ιησους: "Αμην,
αμην λεγω σοι, εαν μη τις γεννηθη εξ ὑδατος και Πνευματος, ου δυναται εισελθειν εις την
βασιλειαν του Θεου. 6 Το γεγεννημενον εκ της σαρκος σαρξ εστιν, και το γεγεννημενον εκ
του Πνευματος πνευμα εστιν. 7 Μη θαυμασης ὁτι ειπον σοι, 'Δει ὑμας γεννηθηναι Ανωθεν'.
8 Το πνευμα ὁπου θελει πνει, και την φωνην αυτου ακουεις, αλλ' ουκ οιδας ποθεν ερχεται
και που ὑπαγει. Οὑτως εστιν πας ὁ γεγεννημενος εκ του Πνευματος."

9 Απεκριθη Νικοδημος και ειπεν αυτω, "Πως δυναται ταυτα γενεσθαι?" 10 Απε-
κριθη[4] Ιησους και ειπεν αυτω: "Συ ει ὁ διδασκαλος του Ισραηλ, και ταυτα ου γινωσκεις?
11 Αμην, αμην λεγω σοι ὁτι ὃ οιδαμεν λαλουμεν και ὃ ἑωρακαμεν μαρτυρουμεν, και την
μαρτυριαν ἡμων ου λαμβανετε. 12 Ει τα επιγεια ειπον ὑμιν και ου πιστευετε, πως εαν
ειπω ὑμιν τα επουρανια πιστευσετε?[5] 13 Και ουδεις αναβεβηκεν εις τον ουρανον ει μη ὁ
εκ του ουρανου καταβας—ὁ Υἱος του Ανθρωπου, ὁ ων εν τω ουρανω.[6] 14 Και, καθως Μω-
σης[7] ὑψωσεν τον οφιν εν τη ερημω, οὑτως ὑψωθηναι δει τον Υἱον του Ανθρωπου, 15 ἱνα
πας ὁ πιστευων εις αυτον[8] μη αποληται, αλλ'[9] εχη[10] ζωην αιωνιον. 16 Οὑτως[11] γαρ ηγαπησεν
ὁ Θεος τον κοσμον ὡστε τον Υἱον αυτου[12] τον μονογενη εδωκεν, ἱνα πας ὁ πιστευων εις
αυτον μη αποληται, αλλ' εχη[13] ζωην αιωνιον. 17 Ου γαρ απεστειλεν ὁ Θεος τον Υἱον
αυτου[14] εις τον κοσμον ἱνα κρινη τον κοσμον, αλλ' ἱνα σωθη ὁ κοσμος δι' αυτου. 18 Ὁ
πιστευων εις αυτον ου κρινεται, ὁ δε μη πιστευων ηδη κεκριται, ὁτι μη πεπιστευκεν εις
το ονομα του μονογενους Υἱου του Θεου.

19 "Αὑτη δε εστιν ἡ κρισις, ὁτι το φως εληλυθεν εις τον κοσμον, και ηγαπησαν οἱ
ανθρωποι μαλλον το σκοτος ἠ το φως, ἦν γαρ πονηρα αυτων[15] τα εργα. 20 Πας γαρ ὁ
φαυλα πρασσων μισει το φως και ουκ ερχεται προς το φως, ἱνα μη ελεγχθη τα εργα αυτου.[16]
21 Ὁ δε ποιων την αληθειαν ερχεται προς το φως ἱνα φανερωθη αυτου τα εργα, ὁτι εν
Θεω εστιν ειργασμενα."

*[John the baptizer testifies again]*

22 Μετα ταυτα ηλθεν ὁ Ιησους, και οἱ μαθηται αυτου, εις την Ιουδαιαν γην, και
εκει διετριβεν μετ' αυτων και εβαπτιζεν. 23 Ἠν δε και[17] Ιωαννης βαπτιζων εν Αινων,

[1] απεκριθη **f**$^{35}$ P$^{66,75}$B,W [50%] OC,NU || 1 ο ℵA,N [50%] CP,HF,RP,TR

[2] αυτον **f**$^{35}$ P$^{66,75}$B,N,W [40%] || 1 ο ℵA [60%] CP,HF,RP,OC,TR[NU]

[3] απεκριθη **f**$^{35}$ P$^{66,75}$ℵA,W (86.9%) CP,HF,RP,OC,NU || 1 ο B,N (13.1%) TR

[4] απεκριθη *rell* || 1 ο ℵN [20%] TR

[5] πιστευσετε **f**$^{35}$ P$^{66}$ℵA,B [70%] CP,HF,RP,OC,TR,NU || πιστευσητε W [29%] || πιστευετε P$^{75}$ [1%] || πιστευεται N

[6] ο ων εν τω ουρανω **f**$^{35}$ (A)N (98.4%) CP,HF,RP,OC,TR || --- P$^{63,66,75}$ℵB,W (1%) NU || 12 εκ του ουρανου (0.4%) || two other variants (0.1%)

[7] μωσης **f**$^{35}$ A [80%] CP,HF,RP,TR || μωυσης P$^{63,66,75}$ℵB,N,W [20%] OC,NU

[8] εις αυτον **f**$^{35}$ ℵT (96.8%) CP,HF,RP,OC,TR || εν αυτω P$^{75}$B,W (0.4%) NU || επ αυτω P$^{66}$ (0.4%) || επ 2 A (0.1%) || two other variants (0.1%) || long omissions (2.2%) [homoioteleuton]

[9] μη αποληται αλλ **f**$^{35}$ P$^{63}$A [99%] CP,HF,RP,OC,TR || --- P$^{36,66,75}$ℵB,W (1.1) NU

[10] εχη *rell* || εχει [40%]

[11] ουτως **f**$^{35pt}$ P$^{63,66,75}$ℵA,B,W [60%] (I include this for the record, to show that the dropping of –ς before a consonant was not automatic.)

[12] αυτου **f**$^{35}$ P$^{63}$A,T (97.5%) CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB,W (0.4%) NU || long omissions (2.1%) [homoioteleuton]

[13] εχη *rell* || εχει [30%]

[14] αυτου **f**$^{35}$ P$^{63}$A [99%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB,W [1%] NU

[15] πονηρα αυτων **f**$^{35}$ [80%] CP,HF,RP,OC,TR || ~ 21 P$^{66,75}$ℵA,B,W [20%] NU

[16] τα εργα αυτου **f**$^{35}$ ℵB (82.3%) CP,HF,RP,OC,TR,NU || ~ 312 P$^{75}$A,W (9.6%) || 123 οτι πονηρα εστιν P$^{66}$ (7.1%) || ~ 312 οτι πονηρα εστιν (0.3%) || long omissions (0.8%) [homoioteleuton]

[17] και **f**$^{35}$ P$^{75}$ℵ [70%] CP,HF,RP,OC,TR || 1 ο P$^{66}$A,B,N,W [30%] NU

εγγυς του Σαλημ,[1] ὅτι ὕδατα πολλα ἦν εκει. Και παρεγινοντο και εβαπτιζοντο· 24 ουπω
γαρ ἦν βεβλημενος εις την φυλακην ὁ Ιωαννης.

25 Εγενετο ουν ζητησις εκ των μαθητων Ιωαννου μετα Ιουδαιου[2] περι καθαρισμου.
26 Και ηλθον προς τον Ιωαννην και ειπον αυτω, "Ῥαββι, ὃς ἦν μετα σου περαν του Ιορ-
δανου, ᾧ συ μεμαρτυρηκας—ιδε, οὗτος βαπτιζει, και παντες ερχονται προς αυτον!" 27 Απε-
κριθη Ιωαννης και ειπεν: "Ου δυναται ανθρωπος λαμβανειν ουδεν[3] εαν μη ᾖ δεδομενον
αυτω εκ του ουρανου. 28 Αυτοι ὑμεις μοι[4] μαρτυρειτε ὅτι ειπον,[5] 'Ουκ ειμι εγω ὁ Χριστος',
αλλ' ὅτι 'Απεσταλμενος ειμι εμπροσθεν εκεινου'. 29 Ὁ εχων την νυμφην νυμφιος εστιν· ὁ
δε φιλος του νυμφιου, ὁ ἑστηκως και ακουων αυτου, χαρα χαιρει δια την φωνην του
νυμφιου. Αὕτη ουν ἡ χαρα ἡ εμη πεπληρωται. 30 Εκεινον δει αυξανειν, εμε δε ελαττουσθαι.

31 "Ὁ Ανωθεν ερχομενος επανω παντων εστιν· ὁ ων εκ της γης εκ της γης εστιν,
και εκ της γης λαλει. Ὁ εκ του ουρανου ερχομενος επανω παντων εστιν.[6] 32 Και[7] ὃ ἑωρα-
κεν και ηκουσεν, τουτο μαρτυρει· και την μαρτυριαν αυτου ουδεις λαμβανει. 33 Ὁ λαβων
αυτου την μαρτυριαν εσφραγισεν ὅτι ὁ Θεος αληθης εστιν. 34 Ὃν γαρ απεστειλεν ὁ Θεος
τα ῥηματα του Θεου λαλει, ου γαρ εκ μετρου διδωσιν ὁ Θεος[8] το Πνευμα. 35 Ὁ Πατηρ
αγαπα τον Υἱον και παντα δεδωκεν εν τη χειρι αυτου. 36 Ὁ πιστευων εις τον Υἱον εχει
ζωην αιωνιον· ὁ δε απειθων τω Υἱω ουκ οψεται την[9] ζωην, αλλ' ἡ οργη του Θεου μενεῖ[10]
επ' αυτον."

## [Jesus and the Samaritans]

**4**.1 Ὡς ουν εγνω ὁ Ιησους[11] ὅτι ηκουσαν οἱ Φαρισαιοι ὅτι Ιησους πλειονας μαθητας ποιει
και βαπτιζει ἡ Ιωαννης 2 (καιτοιγε Ιησους αυτος ουκ εβαπτιζεν, αλλ' οἱ μαθηται αυτου),
3 αφηκεν την Ιουδαιαν και απηλθεν[12] εις την Γαλιλαιαν.

### *[The setting]*

4 Εδει δε αυτον διερχεσθαι δια της Σαμαρειας. 5 Ερχεται ουν εις πολιν της[13] Σαμα-
ρειας λεγομενην Συχαρ, πλησιον του χωριου οὗ[14] εδωκεν Ιακωβ[15] Ιωσηφ τω υἱω αυτου.
6 Ἠν δε εκει πηγη του Ιακωβ. Ὁ ουν Ιησους, κεκοπιακως εκ της ὁδοιποριας, εκαθεζετο
οὕτως επι τη πηγη. Ὡρα ἦν ὡσει[16] ἑκτη.

### *[The woman]*

7 Ερχεται γυνη εκ της Σαμαρειας αντλησαι ὑδωρ. Λεγει αυτη ὁ Ιησους, "Δος μοι
πιειν."[17] 8 (Οἱ γαρ μαθηται αυτου απεληλυθεισαν εις την πολιν ἱνα τροφας αγορασωσιν.)

---

[1] σαλημ **f**$^{35}$ [60%] CP,HF,RP, || σαλειμ $P^{66,75}$ℵB,N [39%] OC,TR,NU || σαλλειμ A || σαλιμ W [1%]

[2] ιουδαιου **f**$^{35}$ $P^{75}$A,B,N(W) (85.5%) HF,RP,OC,NU || ιουδαιων $P^{66}$ℵ (13.5%) CP,TR || lengthy omissions (1%)

[3] λαμβανειν ουδεν **f**$^{35}$ A,N,W (89.3%) CP,HF,RP,OC,TR || 1 ουδε εν $P^{66,75}$B (0.2%) NU || λαβειν 2 ℵ (0.6%) || 1 αφ εαυτου 2 (4.5%) || αφ εαυτου 12 (3.3%) || 12 αφ εαυτου (1%) || αφ εαυτου λαβειν 2 (1%) || three other variants (0.2%)

[4] μοι **f**$^{35}$ $P^{66}$A,B,D,N,W [70%] CP,OC,TR,NU || --- $P^{75}$ℵ [30%] HF,RP

[5] ειπον **f**$^{35}$ ℵA,D,N,W [98.5%] CP,HF,RP,OC,TR || 1 οτι $P^{66,75}$ [0.2%] [NU] || 1 εγω B || 1 υμιν [1%]

[6] επανω παντων εστιν **f**$^{35}$ $P^{66}$A,B,W (97.1%) CP,HF,RP,OC,TR[NU] || --- $P^{75}$ℵD (0.8%) || long omissions (2.2%) [homoioteleuton]

[7] και **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,D,W [2%] NU

[8] ο θεος **f**$^{35}$ A,D [98%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵ(B)C,W [2%] NU

[9] την **f**$^{35}$ [50%] CP || --- $P^{66,75}$(ℵ)A,B,C,D,W [50%] HF,RP,OC,TR,NU

[10] μενεῖ **f**$^{35}$ [50%] (CP) || μένει [50%] HF,RP,OC,TR,NU

[11] ο ιησους **f**$^{35}$ $P^{66}$ℵD (21.7%) CP,NU || ο κυριος $P^{75}$A,B,C,W (76.9%) HF,RP,OC,TR || --- (1.4%)

[12] απηλθεν **f**$^{35}$ A,B (91.1%) CP,HF,RP,OC || 1 παλιν $P^{66,75}$ℵC,D,W (8.6%) TR,NU || long omissions (0.3%) [homoioteleuton]

[13] της *rell* || --- CP

[14] ου **f**$^{35}$ $P^{66}$C,D,N,W [40%] CP || ο $P^{75}$ℵA,B [60%] HF,RP,OC,TR,NU

[15] ιακωβ **f**$^{35}$ A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR || 1 τω $P^{66,75}$ℵB [0.5%] [NU]

[16] ωσει **f**$^{35}$ [98%] CP,HF,RP,OC,TR || ως $P^{66,75}$ℵA,B,C,D,N,W [2%] NU

[17] πιειν **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,OC,TR || πειν $P^{66,75}$B,C,D [1%] NU || πιν ℵ || ποιειν [1%]

9 Λεγει ουν[1] αυτω ἡ γυνη ἡ Σαμαρειτις, "Πως συ, Ιουδαιος ων, παρ' εμου πιειν αιτεις,[2] ουσης γυναικος Σαμαρειτιδος?"[3] (ου γαρ συγχρωνται Ιουδαιοι Σαμαρειταις).[4] 10 Απεκριθη Ιησους και ειπεν αυτη: "Ει ηδεις την δωρεαν του Θεου, και τίς εστιν ὁ λεγων σοι, 'Δος μοι πιειν',[5] συ αν ητησας αυτον και εδωκεν αν σοι ὑδωρ ζων." 11 Λεγει αυτω ἡ γυνη:[6] "Κυριε, ουτε αντλημα εχεις, και το φρεαρ εστιν βαθυ· ποθεν ουν εχεις το ὑδωρ το ζων? 12 Μη συ μειζων εἶ του πατρος ἡμων Ιακωβ, ὃς εδωκεν ἡμιν το φρεαρ και αυτος εξ αυτου επιεν, και οἱ υἱοι αυτου και τα θρεμματα αυτου?" 13 Απεκριθη[7] Ιησους και ειπεν αυτη: "Πας ὁ πινων εκ του ὑδατος τουτου διψησει παλιν, 14 ὃς δ' αν πιη εκ του ὑδατος οὗ εγω δωσω αυτω ου μη διψηση[8] εις τον αιωνα· αλλα το ὑδωρ ὃ δωσω αυτω γενησεται εν αυτω πηγη ὑδατος ἁλλομενου εις ζωην αιωνιον." 15 Λεγει προς αυτον ἡ γυνη, "Κυριε, δος μοι τουτο το ὑδωρ! ἱνα μη διψω μηδε ερχωμαι[9] ενθαδε αντλειν."

16 Λεγει αυτη ὁ Ιησους,[10] "'Υπαγε, φωνησον τον ανδρα σου και ελθε ενθαδε". 17 Απεκριθη ἡ γυνη και ειπεν,[11] "Ουκ εχω ανδρα". Λεγει αυτη ὁ Ιησους: "Καλως ειπας ὁτι 'Ανδρα ουκ εχω'· 18 πεντε γαρ ανδρας εσχες, και νυν ὃν εχεις ουκ εστιν σου ανηρ· τουτο αληθες ειρηκας." 19 Λεγει αυτω ἡ γυνη: "Κυριε, θεωρω ὁτι προφητης εἶ συ. 20 Οἱ πατερες ἡμων[12] εν τω ορει τουτω[13] προσεκυνησαν, και ὑμεις λεγετε ὁτι εν Ἱεροσολυμοις εστιν ὁ τοπος ὁπου δει προσκυνειν."[14] 21 Λεγει αυτη ὁ Ιησους: "Γυναι, πιστευσον μοι[15] ὁτι ερχεται ὡρα ὁτε ουτε εν τω ορει τουτω ουτε εν Ἱεροσολυμοις προσκυνησετε τω Πατρι. 22 Ὑμεις προσκυνειτε ὃ ουκ οιδατε· ἡμεις προσκυνουμεν ὃ οιδαμεν, ὁτι ἡ σωτηρια εκ των Ιουδαιων εστιν. 23 Αλλ'[16] ερχεται ὡρα, και νυν εστιν, ὁτε οἱ αληθινοι προσκυνηται προσκυνησουσιν τω Πατρι εν πνευματι και αληθεια· και γαρ ὁ Πατηρ τοιουτους ζητει τους προσκυνουντας αυτον. 24 Πνευμα ὁ Θεος, και τους προσκυνουντας αυτον εν πνευματι και αληθεια δει προσκυνειν."

25 Λεγει αυτω ἡ γυνη: "Οιδα ὁτι Μεσιας[17] ερχεται" (ὁ λεγομενος Χριστος). "'Οταν ελθη εκεινος, αναγγελει ἡμιν παντα."[18] 26 Λεγει αυτη ὁ Ιησους, "Εγω ειμι, ὁ λαλων σοι."

*[The disciples]*

27 Και επι τουτω ηλθον[19] οἱ μαθηται αυτου, και εθαυμασαν[20] ὁτι μετα γυναικος ελαλει· ουδεις μεντοι ειπεν, "Τί ζητεις?" ἢ "Τί λαλεις μετ' αυτης?" 28 Αφηκεν ουν την ὑδριαν αυτης ἡ γυνη και απηλθεν εις την πολιν, και λεγει τοις ανθρωποις: 29 "Δευτε,

---

[1] ουν **f**$^{35}$ $P^{66,75}$A,B,C,D,N,W (86.7%) CP,HF,RP,OC,TR,NU || --- ℵ (13.3%)

[2] πιειν αιτεις **f**$^{35}$ N [99%] CP,HF,RP,OC,TR || πειν 2 $P^{75}$B,C,D [0.5%] NU || πιν αιτις ℵ || πιν 2 A [0.5%] || ~ ετεις πειν $P^{66}$ || πιν ετις W

[3] ουσης γυναικος σαμαρειτιδος **f**$^{35}$ [99%] CP,HF,RP,OC,TR || ~ 231 A,B,C [0.3%] || ~ 213 $P^{75}$ || ~ 2 σαμαριτιδος 1 $P^{63}$N,W [0.3%] NU || 2 σαμαριτιδος D || ~ σαμαριτιδος 1 $P^{66}$ℵ [The early uncials do manage to spread themselves around!]

[4] σαμαρειταις **f**$^{35}$ $P^{75}$A,B,C,N [99.5%] CP,HF,RP,OC,TR || σαμαριταις $P^{66}$W [0.5%] NU || ℵD omit clause

[5] πιειν **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || πειν $P^{66,75}$B,C [0.5%] NU || πιν ℵW || two other readings

[6] η γυνη **f**$^{35}$ ($P^{66}$)A,C,D,N,W (99.8%) CP,HF,RP,OC,TR[NU] || εκεινη ℵ || --- $P^{75}$B

[7] απεκριθη *rell* || 1 ο N [5%] TR

[8] διψηση **f**$^{35}$ $P^{66}$W [90%] HF,RP,OC,TR || διψησει $P^{75}$ℵA,B(D)N [10%] CP,NU || C has long omission

[9] ερχωμαι **f**$^{35}$ A,C,D,W [55%] OC,TR || ερχομαι N [45%] CP,HF,RP || διερχωμαι $P^{66}$ℵ [alone] NU || διερχομαι $P^{75}$B

[10] ο ιησους **f**$^{35}$ D,N,W [98.5%] CP,HF,RP,OC,TR || 2 (ℵ)A [1%] || --- $P^{66,75}$B,C [0.5%] NU

[11] ειπεν **f**$^{35}$ (ℵ)A,D,W [90%] CP,HF,RP,OC,TR || 1 αυτω $P^{66}$B,C,N [10%] NU || λεγει αυτω $P^{75}$

[12] ημων *rell* || υμων OC

[13] τω ορει τουτω *rell* || ~ 312 [10%] TR

[14] δει προσκυνειν **f**$^{35}$ [99%] CP,HF,RP,OC,TR || ~ 21 $P^{66,75}$ℵA,B,C,D,N,W [1%] NU

[15] γυναι πιστευσον μοι **f**$^{35}$ N [96%] CP,HF,RP,OC,TR || 1 πιστευον 3 A [1.5%] || 1 πιστευε 3 D [2%] || ~ πιστευε 31 $P^{66,75}$ℵB,C,W [0.5%] NU

[16] αλλ **f**$^{35}$ C,N [99.5%] CP,HF,RP,OC,TR || αλλα $P^{66,75}$ℵA,B,D,W [0.5%] NU

[17] μεσιας **f**$^{35}$ [95%] CP,HF,RP || μεσσιας $P^{66}$ℵA,B,C,N,W [5%] OC,TR,NU || μεσσειας $P^{75}$D

[18] παντα **f**$^{35}$ A,D,N [98.5%] CP,HF,RP,OC,TR || απαντα $P^{66,75}$ℵB,C,W [1.5%] NU

[19] ηλθον *rell* || ηλθαν B [alone] NU || επηλθαν ℵ

[20] εθαυμασαν **f**$^{35}$ [80%] CP,HF,RP,OC,TR || εθαυμαζον $P^{66,75}$ℵA,B,C,D,N,W [20%] NU

ιδετε ανθρωπον ὃς ειπεν μοι παντα ὁσα εποιησα! Μητι οὗτος εστιν ὁ Χριστος?" 30 Εξηλθον[1]
εκ της πολεως και ηρχοντο προς αυτον.

31 Εν δε[2] τω μεταξυ ηρωτων αυτον οἱ μαθηται αυτου[3] λεγοντες, "'Ραββι,[4] φαγε".
32 Ὁ δε ειπεν αυτοις, "Εγω βρωσιν εχω φαγειν ἣν ὑμεις ουκ οιδατε". 33 Ελεγον ουν οἱ
μαθηται[5] προς αλληλους, "Μη τις ηνεγκεν αυτω φαγειν?" 34 Λεγει αυτοις ὁ Ιησους: "Εμον
βρωμα εστιν ἱνα ποιω[6] το θελημα του πεμψαντος με και τελειωσω αυτου το εργον. 35 Ουχ[7]
ὑμεις λεγετε ὁτι[8] 'Τετραμηνος[9] εστιν και ὁ θερισμος ερχεται'? Ιδου, λεγω ὑμιν, επαρατε
τους οφθαλμους ὑμων και θεασασθε τας χωρας, ὁτι λευκαι εισιν προς θερισμον ηδη!
36 Και[10] ὁ θεριζων μισθον λαμβανει και συναγει καρπον εις ζωην αιωνιον, ἱνα και[11] ὁ
σπειρων ὁμου χαιρη[12] και ὁ θεριζων. 37 Εν γαρ τουτω ὁ λογος εστιν ὁ αληθινος[13] ὁτι
'Αλλος εστιν ὁ σπειρων και αλλος ὁ θεριζων': 38 εγω απεστειλα ὑμας θεριζειν ὃ ουχ ὑμεις
κεκοπιακατε· αλλοι κεκοπιακασιν, και ὑμεις εις τον κοπον αυτων εισεληλυθατε."

*[The Samaritans]*

39 Εκ δε της πολεως εκεινης πολλοι επιστευσαν εις αυτον των Σαμαρειτων[14] δια
τον λογον της γυναικος, μαρτυρουσης ὁτι "Ειπεν μοι παντα ὁσα[15] εποιησα!" 40 Ὡς ουν
ηλθον προς αυτον οἱ Σαμαρειται,[16] ηρωτων αυτον μειναι παρ' αυτοις· και εμεινεν εκει δυο
ἡμερας. 41 Και πολλω πλειους επιστευσαν[17] δια τον λογον αυτου, 42 τη τε γυναικι ελεγον
ὁτι "Ουκετι δια την σην λαλιαν πιστευομεν, αυτοι γαρ ακηκοαμεν, και οιδαμεν ὁτι οὗτος
εστιν αληθως ὁ Σωτηρ του κοσμου, ὁ Χριστος."[18]

## [Jesus in Galilee]

**4**.43 Μετα δε τας δυο ἡμερας εξηλθεν εκειθεν και απηλθεν[19] εις την Γαλιλαιαν. 44 (Αυτος
γαρ ὁ[20] Ιησους εμαρτυρησεν ὁτι προφητης εν τη ιδια πατριδι τιμην ουκ εχει.) 45 Ὁτε ουν
ηλθεν εις την Γαλιλαιαν, εδεξαντο αυτον οἱ Γαλιλαιοι, παντα ἑωρακοτες ἃ[21] εποιησεν εν
Ἱεροσολυμοις, εν τη ἑορτη· και αυτοι γαρ ηλθον εις την ἑορτην.

*[Jesus heals at a distance]*

46 Ηλθεν ουν παλιν ὁ Ιησους[22] εις την Κανα της Γαλιλαιας, ὁπου εποιησεν το ὑδωρ
οινον. Και ἦν τις βασιλικος οὗ ὁ υἱος ησθενει εν Καπερναουμ. 47 Οὗτος ακουσας ὁτι
Ιησους ἡκει εκ της Ιουδαιας εις την Γαλιλαιαν, απηλθεν προς αυτον και ηρωτα αυτον[23] ἱνα

---

[1] εξηλθον **f$^{35}$** P$^{75}$A,B [60%] HF,RP,NU || 1 ουν P$^{66}$ℵN,W [40%] CP,OC,TR || και 1 C,D || two other readings
[2] δε **f$^{35}$** P$^{75}$A,N [99.5%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵB,C,D [0.5%] NU || ~ και W
[3] αυτου **f$^{35}$** N,W [50%] CP || --- P$^{66,75}$ℵA,B,C,D [50%] HF,RP,OC,TR,NU
[4] ραββι **f$^{35}$** A,N [70%] CP,HF,RP,OC,TR,NU || ραββει P$^{66,75}$ℵB,C,D,W [30%]
[5] μαθηται *rell* || 1 αυτου [2%] CP
[6] ποιω **f$^{35}$** ℵA [95%] CP,HF,RP,OC,TR || ποιησω P$^{66,75}$B,C,D,N,W [5%] NU
[7] ουχ *rell* || ουκ CP
[8] οτι **f$^{35}$** P$^{75}$ [35%] CP || 1 ετι P$^{66}$ℵA,B,C,N,W [65%] HF,RP,OC,TR,NU
[9] τετραμηνος *rell* || τετραμηνον W [5%] TR
[10] και **f$^{35}$** A,N [99%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB,C,D,W [1%] NU
[11] και **f$^{35}$** ℵA,D [98%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$B,C,N,W [2%] NU
[12] χαιρη **f$^{35}$** P$^{66}$ℵA,B,C(D)N,W [70%] CP,HF,RP,OC,TR,NU || χαιρει [30%] || χαιρων P$^{75}$
[13] ο αληθινος **f$^{35}$** P$^{66}$ℵA,D (78.9%) CP,HF,RP,OC,TR || 2 B,C,N,W (16.5%) NU || αληθης (1.3%) || two other variants (0.2%) || long omissions P$^{75}$ (3.2%) [homoioteleuton]
[14] σαμαρειτων *rell* || σαμαριτων P$^{66}$ℵD,W [1%] NU
[15] οσα **f$^{35}$** P$^{66}$A,D,N,W (99.6%) CP,HF,RP,OC,TR || α P$^{75}$ℵB,C (0.4%) NU
[16] σαμαρειται *rell* || σαμαριται P$^{66}$ℵA,D,W [0.5%] NU
[17] επιστευσαν *rell* || 1 εις αυτον N [2%] CP
[18] ο χριστος **f$^{35}$** A,D,N [99.5%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB,C,W [0.5%] NU
[19] εκειθεν και απηλθεν **f$^{35}$** A,N (92.6%) CP,HF,RP,OC,TR || 12 ηλθεν (2.4%) || 23 (2.3%) || 1 P$^{66,75}$ℵB,C,D,W (2.2%) NU || seven other variants (0.5%)
[20] ο **f$^{35}$** N [80%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵA,B,C,D,W [20%] NU
[21] α **f$^{35}$** ℵD [95%] CP,HF,RP,OC,TR || οσα P$^{66,75}$A,B,C(N)W [5%] NU
[22] παλιν ο ιησους **f$^{35}$** A(N) [84%] CP,HF,RP,OC || 1 P$^{66,75}$ℵB,C,D,W [1%] NU || ~ 231 [15%] TR
[23] αυτον **f$^{35}$** A,N [98%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB,C,D,W [2%] NU

καταβη και ιασηται αυτου[1] τον υἱον, ημελλεν[2] γαρ αποθνησκειν. 48 Ειπεν ουν ὁ Ιησους
προς αυτον, “Εαν μη σημεια και τερατα ιδητε, ου μη πιστευσητε!” 49 Λεγει προς αυτον ὁ
βασιλικος, “Κυριε, καταβηθι πριν αποθανειν το παιδιον μου!” 50 Λεγει αυτω ὁ Ιησους,
“Πορευου· ὁ υἱος σου ζη”. Και[3] επιστευσεν ὁ ανθρωπος τω λογω ᾧ[4] ειπεν αυτω ὁ Ιησους,[5]
και επορευετο. 51 Ηδη δε αυτου καταβαινοντος, οἱ δουλοι αυτου απηντησαν[6] αυτω και
απηγγειλαν[7] λεγοντες, ὁτι “Ὁ παις σου[8] ζη!” 52 Επυθετο ουν παρ’ αυτων την ὡραν[9] εν ᾗ
κομψοτερον εσχεν. Και ειπον[10] αυτω ὁτι “Χθες[11] ὡραν ἑβδομην αφηκεν αυτον ὁ πυρετος”.
53 Εγνω ουν ὁ πατηρ[12] ὁτι εν[13] εκεινη τη ὡρα εν ᾗ ειπεν αυτω ὁ Ιησους ὁτι[14] “Ὁ υἱος
σου ζη”. Και επιστευσεν αυτος και ἡ οικια αυτου ὁλη. 54 Τουτο[15] παλιν δευτερον σημειον
εποιησεν ὁ Ιησους, ελθων εκ της Ιουδαιας εις την Γαλιλαιαν.

[Jesus returns to Jerusalem—Passover, 28 AD]

**5**.1 Μετα ταυτα ἦν ἡ[16] ἑορτη των Ιουδαιων, και ανεβη ὁ[17] Ιησους εις Ἱεροσολυμα.

*[The pool of Bethesda]*

2 Εστιν[18] δε εν τοις Ἱεροσολυμοις, επι τη Προβατικη, κολυμβηθρα ἡ επιλεγομενη
Ἑβραιστι Βηθεσδα,[19] πεντε στοας εχουσα. 3 Εν ταυταις κατεκειτο πληθος πολυ[20] των ασθε-
νουντων—τυφλων, χωλων, ξηρων—εκδεχομενων την του ὑδατος κινησιν·[21] 4 αγγελος γαρ
κατα καιρον κατεβαινεν εν τη κολυμβηθρα και εταρασσεν[22] το ὑδωρ—ὁ ουν πρωτος εμβας
μετα την ταραχην του ὑδατος ὑγιης εγινετο ᾧ δηποτε κατειχετο νοσηματι.[23]

[The man selected for healing]

5 Ἠν δε τις ανθρωπος εκει τριακοντα οκτω ετη[24] εχων εν τη ασθενεια.[25] 6 Τουτον
ιδων ὁ Ιησους κατακειμενον, και γνους ὁτι πολυν ηδη χρονον εχει, λεγει αυτω, “Θελεις
ὑγιης γενεσθαι?” 7 Απεκριθη αυτω ὁ ασθενων, “Κυριε, ανθρωπον ουκ εχω ἱνα, ὁταν
ταραχθη το ὑδωρ, βαλη[26] με εις την κολυμβηθραν, εν ᾧ δε ερχομαι εγω, αλλος προ εμου

---

1 αυτου *rell* || αυτον [1%] CP

2 ημελλεν **$f^{35}$** $P^{66,75}$ℵA,B,C,D,N,W [50%] CP,OC,TR,NU || εμελλεν [50%] HF,RP

3 και **$f^{35}$** A,C,N [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,D,W [0.5%] NU

4 ω **$f^{35}$** $P^{66}$D,N,W [97.5%] CP,HF,RP,OC,TR || ον $P^{75}$A,B [0.5%] NU || --- ℵC [0.5%] || ο [1%] || ων [0.5%]

5 ο ιησους *rell* || 2 [5%] TR || ~ του ιησου ℵ

6 απηντησαν **$f^{35}$** (A) [90%] CP,HF,RP,OC,TR || υπηντησαν $P^{66,75}$(ℵ)B,C(D)N(W) [10%] NU

7 και απηγγειλαν **$f^{35}$** $P^{39(66)}$A,C(W) (88.9%) CP,HF,RP,OC,TR || 1 ανηγγειλαν (9%) || 1 ηγγειλαν (ℵ)(D) (0.3%) || --- $P^{75}$B,N (1.9%) NU

8 ο παις σου **$f^{35}$** (77.8%) CP,HF,RP,OC,TR || 1 υιος 3 D,N (20.1%) || 12 αυτου $P^{66,75}$ℵA,B,W (0.9%) NU || 2 αυτου C (alone) || 1 υιος αυτου (1%) || conflation (0.2%)

9 παρ αυτων την ωραν **$f^{35}$** [95%] CP,HF,RP,OC,TR || ~ 3412 $P^{66}$ℵA,C,D,N,W [5%] NU || ~ 34 εκεινην $P^{75}$B

10 και ειπον (ειπαν D) **$f^{35}$** ℵA(D) [98%] CP,HF,RP,OC,TR || 2 $P^{66}$ || ~ 2 ουν $P^{75}$B,C,N,W [2%] || ειπαν ουν [none!] NU

11 χθες **$f^{35}$** [98%] CP,HF,RP,OC,TR || εχθες $P^{66,75}$ℵA,B,C,D,N,W [2%] NU

12 πατηρ **$f^{35}$** $P^{75}$ℵA,B,D,W (90.4%) CP,HF,RP,OC,TR,NU || 1 αυτου $P^{66}$C,N,T (8.8%) || 1 του παιδος (0.5%) || long omissions (0.2%)

13 εν **$f^{35}$** $P^{66}$A,D,N,W [99%] CP,HF,RP,OC,TR[NU] || --- $P^{75}$ℵB,C [1%]

14 οτι **$f^{35}$** D,N,W [98%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵA,B,C [2%] NU

15 τουτο **$f^{35}$** ℵA,D,N [99%] CP,HF,RP,OC,TR || 1 δε $P^{66,75}$B,C,W [1%] NU

16 η **$f^{35}$** ℵC [50%] CP,HF,RP,OC || --- $P^{66,75}$A,B,D,N,T,W [50%] TR,NU

17 ο **$f^{35}$** ℵC(N)W [98%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$A,B,D [2%] NU

18 εστιν *rell* || εστη CP [Note the present tense; John was writing before A.D. 70—see the next to the last footnote.]

19 βηθεσδα **$f^{35}$** A,C(N) (98%) CP,HF,RP,OC,TR || βηθεσθα (1.2%) || βηθσαιδα $P^{75}$B,T,W (0.4%) || βηδσαιδαν $P^{66}$ || βηθζαθα ℵ (0.3%) NU || βελζεθα D (Is the choice of NU not curious?)

20 πολυ **$f^{35}$** A,D [99%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,C,D,W [1%] NU

21 εκδεχομενων (απεκδεχομενων 1.6%) την του υδατος κινησιν **$f^{35}$** (D)W (99.3%) CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵA,B,C,T (0.7%) NU

22 εταρασσεν *rell* || εταρασσετο [30%] CP,OC

23 The whole verse **$f^{35}$** (A) (99.2%) CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,C,D,T,W (0.8%) NU

24 τριακοντα οκτω ετη **$f^{35}$** B [50%] CP,RP,TR || 1 και 23 ℵA,C,D [50%] HF,OC[NU] || ετη λη $P^{66}$ || λη $P^{75}$ || μ και η 3 W

25 ασθενεια **$f^{35}$** A [97%] CP,HF,RP,TR || 1 αυτου $P^{66,75}$ℵB,C,D,W [3%] OC,NU

26 βαλη *rell* || βαλλη [5%] TR || βαλλει [2%] || βαλει [2%] || εμβαλη C

καταβαινει.” 8 Λεγει αυτω ὁ Ιησους, “Εγειραι,[1] αρον τον κραββατον[2] σου και περιπατει!”
9 Και ευθεως εγενετο ὑγιης ὁ ανθρωπος και ηρεν τον κραββατον αυτου και περιεπατει.
10 Ἠν δε σαββατον εν εκεινη τη ἡμερα· ελεγον ουν οἱ Ιουδαιοι τω τεθεραπευμενω: “Σαβ-
βατον εστιν![3] Ουκ εξεστιν σοι αραι τον κραββατον.”[4] 11 Απεκριθη[5] αυτοις, “Ὁ ποιησας με
ὑγιη—εκεινος μοι ειπεν, ‘Αρον τον κραββατον σου και περιπατει’.” 12 Ηρωτησαν ουν[6]
αυτον, “Τίς εστιν ὁ ανθρωπος ὁ ειπων σοι, ‘Αρον τον κραββατον σου[7] και περιπατει’?”
13 Ὁ δε ιαθεις ουκ ηδει τίς εστιν, ὁ γαρ Ιησους εξενευσεν, οχλου οντος εν τω τοπω.
14 Μετα ταυτα εὑρισκει αυτον ὁ Ιησους εν τω ἱερω και ειπεν αυτω: “Ιδε, ὑγιης
γεγονας. Μηκετι ἁμαρτανε, ἱνα μη χειρον τι σοι[8] γενηται.” 15 Απηλθεν ὁ ανθρωπος και
ανηγγειλεν τοις Ιουδαιοις ὁτι Ιησους εστιν ὁ ποιησας αυτον ὑγιη.

[The Jews want to kill Jesus]

16 Και δια τουτο εδιωκον τον Ιησουν οἱ Ιουδαιοι[9] και εζητουν αυτον αποκτει-
ναι,[10] ὁτι ταυτα εποιει εν σαββατω. 17 Ὁ δε Ιησους[11] απεκρινατο αυτοις, “Ὁ Πατηρ μου
ἑως αρτι εργαζεται, καγω εργαζομαι”. 18 Δια τουτο ουν μαλλον εζητουν αυτον οἱ Ιουδαι-
οι αποκτειναι, ὁτι ου μονον ελυεν το σαββατον αλλα και Πατερα ιδιον ελεγεν τον Θεον,
ισον ἑαυτον ποιων τω Θεω!

*[Jesus addresses the Jews]*

[He affirms His equality with the Father]

19 Απεκρινατο ουν ὁ Ιησους και ειπεν αυτοις:[12] “Αμην, αμην λεγω ὑμιν, ου δυναται
ὁ Υἱος ποιειν αφ’ ἑαυτου ουδεν, εαν μη τι βλεπη[13] τον Πατερα ποιουντα· ἃ γαρ αν εκεινος
ποιη,[14] ταυτα και ὁ Υἱος ὁμοιως ποιει. 20 Ὁ γαρ Πατηρ φιλει τον Υἱον και παντα δεικ-
νυσιν αυτω ἃ αυτος ποιει· και μειζονα τουτων δειξει αυτω εργα, ἱνα ὑμεις θαυμαζητε.
21 Ὡσπερ γαρ ὁ Πατηρ εγειρει τους νεκρους και ζωοποιει, οὑτως και ὁ Υἱος οὓς θελει
ζωοποιει. 22 Ουδε γαρ ὁ Πατηρ κρινει ουδενα αλλα την κρισιν πασαν δεδωκεν τω Υἱω,
23 ἱνα παντες τιμωσιν τον Υἱον καθως τιμωσιν τον Πατερα. Ὁ μη τιμων τον Υἱον ου
τιμα τον Πατερα τον πεμψαντα αυτον.

[The Son is the Just Judge]

24 “Αμην, αμην λεγω ὑμιν ὁτι ὁ τον λογον μου ακουων και πιστευων τω πεμψαντι
με εχει ζωην αιωνιον· και εις κρισιν ουκ ερχεται αλλα μεταβεβηκεν εκ του θανατου εις
την ζωην.

25 “Αμην, αμην λεγω ὑμιν ὁτι ερχεται ὡρα, και νυν εστιν, ὁτε οἱ νεκροι ακου-
σονται[15] της φωνης του Υἱου του Θεου, και οἱ ακουσαντες ζησονται.[16] 26 Ὡσπερ γαρ ὁ
Πατηρ εχει ζωην εν ἑαυτω, οὑτως εδωκεν και τω Υἱω[17] ζωην εχειν εν ἑαυτω· 27 και

---

[1] εγειραι **$f^{35}$** $P^{66}$ [70%] CP,HF,RP,TR || εγειρε $P^{75}$ℵB,C,W [29%] OC,NU || εγειρε και A,D [1%]

[2] κραββατον **$f^{35}$** $P^{75}$ [70%] CP,HF,RP,TR || κραβαττον $P^{66}$A,B,C,D,W [29%] OC,NU || κραβακτον ℵ || four other spellings (A similar statement obtains wherever the word occurs.)

[3] εστιν **$f^{35}$** [95%] CP,HF,RP,OC,TR || 1 και $P^{66,75}$ℵA,B,C,D,N,W [5%] NU

[4] κραββατον **$f^{35}$** A,B [95%] CP,HF,RP,OC,TR || 1 σου $P^{66,75}$ℵC,D,N,W [5%] NU

[5] απεκριθη **$f^{35}$** D [95%] CP,HF,RP,OC,TR || ο δε 1 $P^{66}$ℵC,N,W [4.5%] NU || ος δε 1 $P^{75}$A,B [0.5%]

[6] ουν **$f^{35}$** $P^{75}$C,N [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,D [0.4%] NU || omit verse A,W [homoioteleuton]

[7] τον κραββατον σου **$f^{35}$** [70%] CP,HF,RP,OC,TR || 1 κραβαττον 3 D [29.5%] || 1 κραβατον 3 N || --- $P^{66,75}$ℵB,C [0.4%] NU || omit verse A,W

[8] τι σοι **$f^{35}$** ℵD,W [60%] CP,HF,RP,TR || ~ 21 $P^{66,75}$A,B,C,N [40%] OC,NU

[9] τον ιησουν οι ιουδαιοι **$f^{35}$** A,N (95.2%) CP,HF,RP,OC,TR || ~ 3412 $P^{66,75}$ℵB,C,D,W (2%) NU || 124 (1.1%) || αυτον 34 (1.4%) || three other variants (0.4%)

[10] και εζητουν αυτον αποκτειναι **$f^{35}$** A(N) (97.2%) CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,C,D,W (2.8%) NU

[11] ιησους **$f^{35}$** $P^{66}$A,D,N [99.5%] CP,HF,RP,OC,TR[NU] || --- $P^{75}$ℵB,W [0.5%]

[12] απεκρινατο ουν ο ιησους και ειπεν αυτοις **$f^{35}$** A [98%] CP,HF,RP,OC,TR || 12345 ελεγεν 7 $P^{66}$ [0.3%] NU || 12345 λεγει 7 [1%] || απεκριθη 234567 D,N,W [0.5%] || 125 ελεγεν 7 $P^{75}$B || ~ ελεγεν 2734 ℵ

[13] βλεπη *rell* || βλεπει [30%]

[14] ποιη *rell* || ποιει A [30%]

[15] ακουσονται **$f^{35}$** A,D [98.5%] CP,HF,RP,OC,TR || ακουσουσιν $P^{75}$B [0.5%] NU || ακουσωσιν $P^{66}$ℵW [1%]

[16] ζησονται **$f^{35}$** A [98%] CP,HF,RP,OC,TR || ζησουσιν $P^{66,75}$ℵB,D,W [2%] NU || one other reading

[17] εδωκεν και τω υιω **$f^{35}$** A,D [99.5%] CP,HF,RP,OC,TR || ~ 2341 $P^{66,75}$B [0.4%] NU || --- ℵ || ~ 234 ζωην 1 W

εξουσιαν εδωκεν αυτω και[1] κρισιν ποιειν, ὅτι υἱος ανθρωπου εστιν. 28 Μη θαυμαζετε
τουτο, ὅτι ερχεται ὥρα εν ᾗ παντες οἱ εν τοις μνημειοις ακουσονται[2] της φωνης αυτου
29 και εκπορευσονται—οἱ τα αγαθα ποιησαντες εις αναστασιν ζωης, οἱ δε τα φαυλα
πραξαντες εις αναστασιν κρισεως. 30 Ου δυναμαι εγω ποιειν απ' εμαυτου ουδεν. Καθως
ακουω, κρινω, και ἡ κρισις ἡ εμη δικαια εστιν, ὅτι ου ζητω το θελημα το εμον αλλα το
θελημα του πεμψαντος με Πατρος.[3]

[Four witnesses to Jesus]

31 "Εαν εγω μαρτυρω περι εμαυτου, ἡ μαρτυρια μου ουκ εστιν αληθης. 32 Αλλος
εστιν ὁ μαρτυρων περι εμου, και οιδα ὅτι αληθης εστιν ἡ μαρτυρια ἣν μαρτυρει περι εμου.
33 Ὑμεις απεσταλκατε προς Ιωαννην και μεμαρτυρηκεν τη αληθεια. 34 Εγω δε ου παρα
ανθρωπου την μαρτυριαν λαμβανω· αλλα ταυτα λεγω ἱνα ὑμεις σωθητε. 35 Εκεινος ἦν ὁ
λυχνος, ὁ καιομενος και φαινων, ὑμεις δε ηθελησατε αγαλλιαθηναι προς ὥραν[4] εν τω φωτι
αυτου. 36 Εγω δε εχω την μαρτυριαν μειζω του Ιωαννου, τα γαρ εργα ἃ εδωκεν[5] μοι ὁ
Πατηρ ἱνα τελειωσω αυτα—αυτα τα εργα ἃ εγω[6] ποιω—μαρτυρει περι εμου ὅτι ὁ Πατηρ
με απεσταλκεν.

37 "Και ὁ πεμψας με Πατηρ, αυτος[7] μεμαρτυρηκεν περι εμου. Ουτε φωνην αυτου
ακηκοατε πωποτε[8] ουτε ειδος αυτου ἑωρακατε.[9] 38 Και τον λογον αυτου ουκ εχετε μενοντα
εν ὑμιν,[10] ὅτι ὃν απεστειλεν εκεινος, τουτω ὑμεις ου πιστευετε. 39 Ερευνατε[11] τας Γραφας
ὅτι ὑμεις δοκειτε εν αυταις ζωην αιωνιον εχειν, και εκειναι εισιν αἱ μαρτυρουσαι περι
εμου. 40 Και ου θελετε ελθειν προς με ἱνα ζωην εχητε.

[The Jews are accused by Moses]

41 "Δοξαν παρα ανθρωπων ου λαμβανω. 42 Αλλ'[12] εγνωκα ὑμας, ὅτι την αγαπην του
Θεου ουκ εχετε εν ἑαυτοις. 43 Εγω εληλυθα εν τω ονοματι του Πατρος μου, και ου
λαμβανετε με· εαν αλλος ελθη εν τω ονοματι τω ιδιω, εκεινον ληψεσθε.[13] 44 Πως δυνασθε
ὑμεις πιστευσαι, δοξαν παρα ανθρωπων[14] λαμβανοντες και την δοξαν την παρα του μονου
Θεου ου ζητειτε?

45 "Μη δοκειτε ὅτι εγω κατηγορησω ὑμων προς τον Πατερα· εστιν ὁ κατηγορων
ὑμων, Μωσης,[15] εις ὃν ὑμεις ηλπικατε. 46 Ει γαρ επιστευετε Μωσει,[16] επιστευετε αν εμοι,
περι εμου γαρ[17] εκεινος εγραψεν. 47 Ει δε τοις εκεινου γραμμασιν ου πιστευετε, πως τοις
εμοις ῥημασιν πιστευσετε?"

## [Jesus is back in Galilee]

**6.**1 Μετα ταυτα απηλθεν ὁ Ιησους περαν της θαλασσης της Γαλιλαιας, της Τιβεριαδος.

---

[1] και **f**$^{35}$ D [99%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$(א)A,B,N,W [1%] NU

[2] ακουσονται **f**$^{35}$ A,D [98.5%] CP,HF,RP,OC,TR || ακουσουσιν $P^{75}$B [0.5%] NU || ακουσωσιν $P^{66}$אN,W [1%]

[3] πατρος **f**$^{35}$ [80%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$אA,B,D,N,W [20%] NU

[4] αγαλλιαθηναι προς ωραν **f**$^{35}$ $P^{66}$אB,D,N [89.5%] HF,RP,OC,NU || ~ 231 A,W [0.5%] CP || αγαλλιασθηναι 23 [10%] TR

[5] εδωκεν **f**$^{35}$ A,D [95%] CP,HF,RP,OC,TR || δεδωκεν $P^{66}$אB,N,W [5%] NU

[6] εγω **f**$^{35}$ [96%] CP,HF,RP,OC,TR || --- $P^{66}$אA,B,D,N,W [4%] NU

[7] αυτος **f**$^{35}$ $P^{66}$A,N (98.1%) CP,HF,RP,OC,TR || εκεινος $P^{75,95}$אB,W (0.8%) NU || εκεινος 1 D (0.1%) || --- (0.1%) || long omissions (0.8%)

[8] ακηκοατε πωποτε **f**$^{35}$ [95%] CP,HF,RP,OC,TR || ~ 21 $P^{(66)75v}$אA,B,D,N,W [5%] NU

[9] εωρακατε *rell* || εορακατε $P^{75}$N [10%] || εωρακαται $P^{66}$

[10] μενοντα εν υμιν **f**$^{35}$ A,D [96%] CP,HF,RP,OC,TR || ~ 231 $P^{66,75}$אB,N,W [3%] NU || ~ 23 οντα [1%]

[11] ερευνατε **f**$^{35}$ A,D,W [99.6%] CP,HF,RP,OC,TR || εραυνατε $P^{66}$אB [0.4%] NU || εραυναται N

[12] αλλ **f**$^{35}$ $P^{66}$אA,N [99.5%] CP,HF,RP,OC,TR || αλλα $P^{75}$B,D,W [0.5%] NU

[13] ληψεσθε **f**$^{35}$ [97%] CP,HF,RP,OC,TR || ληψεσθαι [2.2%] || λημψεσθαι אA,D,W [0.5%] || λημψεσθε $P^{66,75}$B,N [0.3%] NU

[14] ανθρωπων **f**$^{35}$ (22.6%) || αλληλων $P^{66,75}$אA,B,D,N,W (77.2%) CP,HF,RP,OC,TR,NU || long omissions (0.2%)

[15] μωσης **f**$^{35}$ A [96%] CP,HF,RP,TR || μωυσης $P^{66,75}$אB,D,N,W [3%] OC,NU || μωσεις [1%]

[16] μωσει **f**$^{35}$ אA [50%] CP,HF,TR || μωση [47%] RP || μωυση [2%] || μωυσει $P^{66,75}$B,D,N,W [1%] OC,NU

[17] εμου γαρ **f**$^{35}$ D [25%] || ~ 21 $P^{66,75}$אA,B,N,W [75%] CP,HF,RP,OC,TR,NU

2 Και ηκολουθει[1] αυτω οχλος πολυς, ὁτι ἑωρων[2] αυτου[3] τα σημεια ἃ εποιει επι των ασθε-
νουντων. 3 Ανηλθεν δε εις το ορος ὁ[4] Ιησους και εκει εκαθητο μετα των μαθητων αυτου.
4 (Ἠν δε εγγυς το Πασχα, ἡ ἑορτη των Ιουδαιων.)

*[Food for 15.000]*

5 Επαρας ουν ὁ Ιησους τους οφθαλμους,[5] και θεασαμενος ὁτι πολυς οχλος ερχεται
προς αυτον, λεγει προς τον[6] Φιλιππον, “Ποθεν αγορασομεν[7] αρτους ἱνα φαγωσιν οὑτοι?”
6 Τουτο δε ελεγεν πειραζων αυτον, αυτος γαρ ηδει τί ημελλεν[8] ποιειν. 7 Απεκριθη αυτω[9]
Φιλιππος, “Διακοσιων δηναριων αρτοι ουκ αρκουσιν αυτοις, ἱνα ἑκαστος αυτων[10] βραχυ
τι[11] λαβη”. 8 Λεγει αυτω εἱς εκ των μαθητων αυτου, Ανδρεας, ὁ[12] αδελφος Σιμωνος Πετρου,
9 “Εστιν παιδαριον ἑν[13] ὡδε[14] ὃ[15] εχει πεντε αρτους κριθινους και δυο οψαρια, αλλα ταυτα
τί εστιν εις τοσουτους?”

10 Ειπεν δε[16] ὁ Ιησους, “Ποιησατε τους ανθρωπους αναπεσειν”. Ἠν δε χορτος πολυς
εν τω τοπω· ανεπεσον[17] ουν[18] οἱ ανδρες,[19] τον αριθμον ὡσει[20] πεντακισχιλιοι. 11 Ελαβεν
δε[21] τους αρτους ὁ Ιησους, και ευχαριστησας διεδωκεν[22] τοις μαθηταις, οἱ δε μαθηται[23] τοις
ανακειμενοις· ὁμοιως και εκ των οψαριων, ὁσον ηθελον. 12 Ὡς δε ενεπλησθησαν λεγει τοις
μαθηταις αυτου, “Συναγαγετε τα περισσευσαντα των κλασματων,[24] ἱνα μη τι αποληται”.
13 Συνηγαγον ουν και εγεμισαν δωδεκα κοφινους κλασματων εκ των πεντε αρτων των
κριθινων ἃ επερισσευσεν[25] τοις βεβρωκοσιν.

14 Οἱ ουν ανθρωποι, ιδοντες ὃ εποιησεν σημειον ὁ Ιησους,[26] ελεγον ὁτι “Οὑτος
εστιν αληθως ὁ Προφητης ὁ ερχομενος εις τον κοσμον”. 15 Ιησους ουν, γνους ὁτι μελλουσιν

---

[1] και ηκολουθει **f35** A [97%] CP,HF,RP,OC,TR || ~ 2 δε $P^{66,75v}$ℵB,D,N,W [3%] NU

[2] εωρων **f35** $P^{66}$ℵ (94%) CP,HF,RP,OC,TR || εωρουν (1.5%) || εθεωρουν B,D,N (2.6%) NU || εθεωρων $P^{75}$A (0.5%) || εωρακεν (1.1%) || θεωρουντες W (0.1%) || three other variants (0.2%)

[3] αυτου **f35** N [80%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵA,B,D,W [20%] NU

[4] ο **f35** A,N [99%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,D,W [1%] NU

[5] ο ιησους τους οφθαλμους **f35** [90%] CP,HF,RP,OC,TR || ~ 3412 $P^{66}$A,B,D,N,W [9%] NU || ~ 342 ℵ || 34 [1%]

[6] τον **f35** A [99%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,D,N,W [1%] NU

[7] αγορασομεν **f35** [60%] CP,HF,RP,TR || αγορασωμεν $P^{66}$ℵA,B,D,N,W [40%] OC,NU

[8] ημελλεν **f35** $P^{66}$D [50%] CP || εμελλεν $P^{75}$ℵA,B,N,W [50%] HF,RP,OC,TR,NU

[9] αυτω **f35** $P^{75}$A,B,D [99.5%] CP,HF,RP,OC,TR || 1 ο $P^{66}$ℵN,W [0.5%] [NU]

[10] αυτων **f35** D [97%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵA,B,N,W [3%] NU

[11] τι **f35** $P^{66}$ℵA,N,W [99.7%] CP,HF,RP,OC,TR[NU] || --- $P^{75}$B,D [0.3%]

[12] ο *rell* || --- [1%] CP

[13] εν **f35** A [97%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,D,N,W [3%] NU

[14] ὡδε *rell* || ὧδε **f35** (I include this information for the record and so as not to lose sight of it, but since there is apparently no difference in meaning, I stay with the conventional pointing. However, in most manuscripts the difference between ὧδε and ὧ δε is not clear, and the expedient adopted by **f35** removes the ambiguity. A similar statement obtains wherever the word occurs.)

[15] ο **f35** ℵN [97%] CP,HF,RP,TR || ος $P^{66}$A,B,D,W [3%] OC,NU || two other readings

[16] δε **f35** A,N,W [99%] CP,HF,RP,OC,TR || ουν $P^{66}$D [0.5%] || --- $P^{75v}$ℵB [0.5%] NU

[17] ανεπεσον **f35** [70%] CP,HF,RP,OC,TR || ανεπεσαν $P^{66}$ℵA,B,D,N,W [30%] NU

[18] ουν *rell* || --- [30%]

[19] οι ανδρες **f35** ℵB (83.5%) CP,HF,RP,OC,TR,NU || 2 $P^{66,75}$D,W (8.1%) || 1 ανθρωποι 2 A (8.1%) || 1 ανθρωποι (0.3%) || ~ τον αριθμον 2 N

[20] ωσει **f35** $P^{66}$A [99%] CP,HF,RP,OC,TR || ως $P^{75}$ℵB,D,N,W [1%] NU

[21] δε **f35** ℵN [97%] CP,HF,RP,OC,TR || ουν $P^{28,66}$A,B,D,W [1%] NU || ~ και [2%]

[22] διεδωκεν **f35** $P^{75}$A,B,W (83.4%) CP,HF,RP,OC,TR,NU || δεδωκεν (7.2%) || εδωκεν $P^{28,66}$(ℵD)N (8.9%) || διαδεδωκε (0.3%) || three other variants (0.2%)

[23] τοις μαθηταις οι δε μαθηται **f35** D [97%] CP,HF,RP,OC,TR || --- $P^{66,75v}$ℵA,B,N,W [3%] NU [an easy case of homoioarcton]

[24] των κλασματων **f35** N [25%] || κλασματα $P^{75}$ℵA,B [75%] CP,HF,RP,OC,TR,NU

[25] επερισσευσεν **f35** ℵA [99.5%] CP,HF,RP,OC,TR || επερισσευσαν $P^{75}$B,D,W [0.5%] NU || επεριεσευσεν N

[26] ο εποιησεν σημειον ο ιησους **f35** A(N) (89.4%) CP,HF,RP,OC,TR || ~ 13245 (1.6%) || ~ 12453 (1%) || ~ 31245 (0.8%) || ~ το 31245 (5.7%) || 1245 (0.3%) || α 2 σημεια 45 (0.3%) || 123 ℵD,W (0.5%) NU || α 2 σημεια $P^{75}$B (0.3%) || two other variants (0.1%)

ερχεσθαι και ἁρπαζειν αυτον ἱνα ποιησωσιν αυτον[1] βασιλεα, ανεχωρησεν παλιν[2] εις το
ορος αυτος μονος.

*[Jesus walks on water]*

16 Ὡς δε οψια εγενετο, κατεβησαν οἱ μαθηται αυτου επι την θαλασσαν, 17 και εμ-
βαντες εις το[3] πλοιον ηρχοντο περαν της θαλασσης εις Καπερναουμ.[4] Και σκοτια ηδη εγε-
γονει, και ουκ[5] εληλυθει προς αυτους ὁ Ιησους. 18 Ἡ τε θαλασσα ανεμου μεγαλου πνεοντος
διηγειρετο.[6] 19 Εληλακοτες ουν ὡς σταδιους εικοσι πεντε ἢ τριακοντα, θεωρουσιν τον
Ιησουν περιπατουντα επι της θαλασσης και εγγυς του πλοιου γινομενον, και εφοβηθησαν.
20 Ὁ δε λεγει αυτοις, "Εγω ειμι· μη φοβεισθε!" 21 Ηθελον ουν λαβειν αυτον εις το πλοιον,
και ευθεως το πλοιον εγενετο[7] επι της γης εις ἣν ὑπηγον.

22 Τη επαυριον ὁ οχλος ὁ ἑστηκως περαν της θαλασσης, ιδων[8] ὁτι πλοιαριον αλλο
ουκ ἦν εκει ει μη ἑν, εκεινο εις ὃ ενεβησαν οἱ μαθηται αυτου,[9] και ὁτι ου συνεισηλθεν
τοις μαθηταις αυτου ὁ Ιησους εις το πλοιαριον[10] αλλα μονοι οἱ μαθηται αυτου απηλθον—
23 αλλα δε[11] ηλθεν[12] πλοιαρια[13] εκ Τιβεριαδος εγγυς του τοπου ὁπου εφαγον τον αρτον, ευ-
χαριστησαντος του Κυριου—24 ὁτε ουν ειδεν ὁ οχλος ὁτι Ιησους ουκ εστιν εκει ουδε οἱ
μαθηται αυτου, ενεβησαν[14] αυτοι εις τα πλοια[15] και ηλθον εις Καπερναουμ, ζητουντες τον
Ιησουν. 25 Και εὑροντες αυτον περαν της θαλασσης, ειπον αυτω, "Ῥαββι, ποτε ὡδε
γεγονας?"

*[The Bread of Life]*

26 Απεκριθη αυτοις ὁ Ιησους και ειπεν: "Αμην, αμην λεγω ὑμιν, ζητειτε με, ουχ
ὁτι ειδετε[16] σημεια, αλλ' ὁτι εφαγετε εκ των αρτων και εχορτασθητε. 27 Εργαζεσθε μη την
βρωσιν την απολλυμενην αλλα την βρωσιν την μενουσαν εις ζωην αιωνιον, ἣν ὁ Υἱος του
Ανθρωπου ὑμιν δωσει· τουτον γαρ ὁ Πατηρ εσφραγισεν ὁ Θεος." 28 Ειπον ουν προς αυτον,
"Τί ποιωμεν[17] ἱνα εργαζωμεθα τα εργα του Θεου?" 29 Απεκριθη[18] Ιησους και ειπεν αυτοις,
"Τουτο εστιν το εργον του Θεου, ἱνα πιστευσητε[19] εις ὃν απεστειλεν εκεινος". 30 Ειπον
ουν αυτω: "Τί ουν ποιεις συ[20] σημειον ἱνα ιδωμεν και πιστευσωμεν σοι? Τί εργαζη?
31 Οἱ πατερες ἡμων το μαννα εφαγον εν τη ερημω, καθως εστιν γεγραμμενον: 'Αρτον εκ
του ουρανου εδωκεν αυτοις φαγειν'."

---

[1] αυτον **$f^{35}$** D(N) [97%] CP,HF,RP,OC,TR || --- $P^{75}$ℵA,B,W [3%] NU

[2] παλιν **$f^{35}$** $P^{75}$ℵA,B,D,N [50%] OC,TR,NU || --- W [50%] HF,RP || ~ παλιν ανεχωρησεν CP

[3] το **$f^{35}$** A,D,N,W [99%] CP,HF,RP,OC,TR || --- $P^{75}$ℵB [1%] NU

[4] καπερναουμ **$f^{35}$** A [99%] CP,HF,RP,OC,TR || καφαρναουμ $P^{75}$ℵB,D,N,W [1%] NU

[5] ουκ **$f^{35}$** A [97%] CP,HF,RP,OC,TR || ουπω $P^{75}$ℵB,D,N,W [3%] NU

[6] διηγειρετο **$f^{35}$** ℵA,D,N,W [98%] CP,HF,RP,OC,TR || διεγειρετο $P^{28}$B [2%] NU

[7] το πλοιον εγενετο **$f^{35}$** ℵ(D) [95%] CP,HF,RP,OC,TR || ~ 312 $P^{75}$A,B,N,W [5%] NU

[8] ιδων **$f^{35}$** [98%] CP,HF,RP,OC,TR || ειδον $P^{75}$A,B [1%] NU || ειδεν $P^{28}$ℵD [0.5%] || ιδον N,W [0.5%]

[9] εκεινο εις ο ενεβησαν οι μαθηται αυτου **$f^{35}$** (77.2%) CP,HF,RP,OC,TR || 234567 D (1.9%) || 134567 (0.7%) || 12 ον 4567 (2%) || 123 ανεβησαν 567 (12.9%) || 123456 του ιησου ℵ (0.9%) || --- $P^{75}$A,B,N,W (4.2%) NU || long omissions (0.2%) [homoioteleuton]

[10] πλοιαριον **$f^{35}$** [95%] CP,HF,RP,OC,TR || πλοιον $P^{75}$A,B,D,N,W [5%] NU || πλοιαν ℵ

[11] δε **$f^{35}$** A(N)W (98.9%) CP,HF,RP,OC,TR || --- $P^{75}$B(D) (0.7%) NU || ουν ℵ (alone) || two other readings (0.4%)

[12] ηλθεν **$f^{35}$** $P^{75}$A,B,W (84.7%) CP,HF,RP,OC,TR,NU || ηλθον N (13.8%) || ην (0.4%) || --- (0.5%) || ελθοντων D (alone) || απελθοντων ℵ (alone) || four other variants (0.5%)

[13] πλοιαρια **$f^{35}$** A,N (98.5%) CP,HF,RP,OC,TR[NU] || πλοια $P^{75}$B,W (1.4%) || πλοιων ℵ (alone) || πλοιαρειων D (alone)

[14] ενεβησαν **$f^{35}$** A,B,N,W (79.5%) CP,HF,RP,OC,NU || 1 και (4.9%) TR || ανεβησαν $P^{75}$ℵ (13.1%) || ανεβησαν και (1.8%) || ελαβον D (0.6%) (ℵ 4.3% omit αυτοι)

[15] τα πλοια **$f^{35}$** A [98%] CP,HF,RP,OC,TR || 1 πλοιαρια $P^{75}$B(D)N,W [2%] NU || το πλοιον ℵ

[16] ειδετε *rell* || ιδετε A,N [25%] || ειδατε D

[17] ποιωμεν *rell* || ποιουμεν [3%] some TRs || ποιησωμεν W [1%] || two other readings

[18] απεκριθη **$f^{35}$** $P^{75}$ℵW [70%] CP,HF,RP,OC || 1 ο A,B,D,N [30%] TR[NU]

[19] πιστευσητε **$f^{35}$** [98.5%] CP,HF,RP,OC,TR || πιστευητε $P^{75}$A,B,N [1%] NU || πιστευσηται D,W || πιστευηται ℵ

[20] συ *rell* || --- W [10%] || σοι D

32 Ειπεν ουν αυτοις ὁ Ιησους: "Αμην, αμην λεγω ὑμιν, ου Μωσης[1] δεδωκεν ὑμιν
τον αρτον εκ του ουρανου, αλλ' ὁ Πατηρ μου διδωσιν ὑμιν τον αρτον εκ του ουρανου τον
αληθινον. 33 Ὁ γαρ αρτος του Θεου εστιν ὁ καταβαινων εκ του ουρανου και ζωην διδους
τω κοσμω." 34 Ειπον ουν προς αυτον, "Κυριε, παντοτε δος ἡμιν τον αρτον τουτον".
35 Ειπεν δε[2] αυτοις ὁ Ιησους: "Εγω ειμι ὁ αρτος της ζωης. Ὁ ερχομενος προς με[3] ου μη
πειναση, και ὁ πιστευων εις εμε ου μη διψηση[4] πωποτε. 36 Αλλ' ειπον ὑμιν ὁτι και ἑωρα-
κατε με,[5] και ου πιστευετε. 37 Παν ὃ διδωσιν μοι ὁ Πατηρ προς εμε ἡξει, και τον ερχομενον
προς με[6] ου μη εκβαλω[7] εξω. 38 Ὁτι καταβεβηκα εκ[8] του ουρανου, ουχ ἱνα ποιω το θελημα
το εμον αλλα το θελημα του πεμψαντος με. 39 Τουτο δε εστιν το θελημα του πεμψαντος με
Πατρος,[9] ἱνα παν ὃ δεδωκεν μοι μη απολεσω εξ αυτου, αλλα[10] αναστησω αυτο[11] εν[12] τη
εσχατη ἡμερα. 40 Τουτο δε[13] εστιν το θελημα του πεμψαντος με,[14] ἱνα πας ὁ θεωρων τον
Υἱον και πιστευων εις αυτον εχη ζωην αιωνιον, και αναστησω αυτον εγω[15] τη εσχατη
ἡμερα."

41 Εγογγυζον ουν οἱ Ιουδαιοι περι αυτου ὁτι ειπεν, "Εγω ειμι ὁ αρτος ὁ καταβας
εκ του ουρανου". 42 Και ελεγον: "Ουχ οὑτος εστιν Ιησους ὁ υἱος Ιωσηφ, οὗ ἡμεις οιδαμεν
τον πατερα και την μητερα? Πως ουν[16] λεγει οὑτος[17] ὁτι 'Εκ του ουρανου καταβεβηκα'?"

43 Απεκριθη ουν[18] ὁ[19] Ιησους και ειπεν αυτοις: "Μη γογγυζετε μετ' αλληλων.
44 Ουδεις δυναται ελθειν προς με εαν μη ὁ Πατηρ ὁ πεμψας με ἑλκυση αυτον, και εγω[20]
αναστησω αυτον εν[21] τη εσχατη ἡμερα. 45 Εστιν γεγραμμενον εν τοις Προφηταις, 'Και
εσονται παντες διδακτοι[22] Θεου'. Πας ουν[23] ὁ ακουων[24] παρα του Πατρος και μαθων ερχεται
προς με.[25] 46 (Ουχ ὁτι τον Πατερα τις ἑωρακεν,[26] ει μη ὁ ων παρα του Θεου—οὑτος ἑωρακεν
τον Πατερα.) 47 Αμην, αμην λεγω ὑμιν: ὁ πιστευων εις εμε[27] εχει ζωην αιωνιον.

48 "Εγω ειμι ὁ αρτος της ζωης. 49 Οἱ πατερες ὑμων εφαγον το μαννα εν τη ερημω,[28]
και απεθανον. 50 Οὑτος εστιν ὁ αρτος ὁ εκ του ουρανου καταβαινων, ἱνα τις εξ αυτου φαγη
και μη αποθανη. 51 Εγω ειμι ὁ αρτος ὁ ζων ὁ εκ του ουρανου καταβας. Εαν τις φαγη εκ

---

[1] μωσης **f35** A [50%] CP,RP,TR || μωυσης P75אB,W [50%] HF,OC,NU

[2] δε **f35** A [99%] CP,HF,RP,OC,TR || --- B,W [0.5%] NU || ουν אD [0.5%]

[3] με **f35** A,D,W [99.8%] CP,HF,RP,OC,TR || εμε P75אB [0.2%] NU

[4] διψηση **f35** [95%] CP,HF,RP,OC,TR || διψησει P66אA,B,W [5%] NU || διψασει D

[5] με **f35** P66B,D,W [99.9%] CP,HF,RP,OC,TR[NU] || --- אA [alone]

[6] με **f35** A,B,D,W [97%] CP,HF,RP,OC,TR || εμε P66,75א [3%] NU

[7] εκβαλω *rell* || εκβαλλω [2%] CP

[8] εκ **f35** אD [98%] CP,HF,RP,OC,TR || απο P66A,B,W [2%] NU

[9] πατρος **f35** [98%] CP,HF,RP,OC,TR || --- P66,75(א)A,B(C)D,W [2%] NU

[10] αλλα *rell* || αλλ D [10%] CP

[11] αυτο **f35** P66,75אA,B,C,D [50%] CP,HF,RP,OC,TR,NU || αυτον N,W [50%]

[12] εν **f35** אA,D,N [60%] CP,OC,TR[NU] || --- P66,75B,C,W [40%] HF,RP

[13] δε **f35** [85%] CP,HF,RP,OC,TR || γαρ אA,B,C,D,N,W [13%] NU || --- P(66)75 [2%]

[14] πεμψαντος με **f35** A [90%] CP,HF,RP,OC,TR || πατρος μου P66,75אB,C,D,N,W [6%] NU || --- [2%] || 12 πατρος [2%]

[15] εγω **f35** P75B,C,W [80%] CP,HF,RP,OC,TR || 1 εν אN [18%] [NU] || εν P66A,D [1%] || --- [1%]

[16] ουν **f35** P66אA,D,N (98.9%) CP,HF,RP,OC,TR || νυν P75B,C,T,W (0.6%) NU || --- (0.3%) || three other variants (0.2%)

[17] λεγει ουτος **f35** A(W) (93.1%) CP,HF,RP,OC,TR || 1 ουτως (0.9%) || 1 αυτος (0.8%) || ~ 21 אN (0.4%) || 1 P66,75B,C,T (4.8%) NU || 1 εαυτον D (alone)

[18] ουν **f35** אA,D,N,W [97%] CP,HF,RP,OC,TR || --- P66,75B,C [3%] NU

[19] ο **f35** P66A,C,D,N,W [98%] CP,HF,RP,OC,TR || --- P75אB [2%] NU

[20] και εγω **f35** A [97%] CP,HF,RP,OC,TR || καγω P66,75אB,C,D,N(W) [3%] NU

[21] εν **f35** P66A,B,C,D,N,W [90%] HF,RP,NU || --- P75א [10%] CP,OC,TR

[22] διδακτοι *rell* || 1 του [10%] TR

[23] ουν **f35** A [98%] CP,HF,RP,TR || --- P66,75אB,C,D,N,W [2%] OC,NU

[24] ακουων **f35** D [85%] CP,HF,RP,OC || ακουσας P66,75אA,B,C,N,W [15%] TR,NU

[25] με **f35** P66A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR || εμε P75אB [0.5%] NU

[26] τις εωρακεν **f35** A [99%] CP,HF,RP,OC,TR || ~ 21 P66א(B)C,D(N)(W) [1%] NU

[27] εις εμε **f35** A,C,D,N (99.5%) CP,HF,RP,OC,TR || --- P66אB,T,W (0.5%) NU

[28] το μαννα εν τη ερημω **f35** P66אA [99.5%] CP,HF,RP,OC,TR || ~ 34512 B,C,D,W [0.5%] NU

τουτου του αρτου, ζησεται[1] εις τον αιωνα. Και, ὁ αρτος δε ὃν εγω δωσω ἡ σαρξ μου εστιν,
ἣν εγω δωσω ὑπερ της του κοσμου ζωης.”[2]

[Chew flesh, drink blood]

52 Εμαχοντο ουν προς αλληλους οἱ Ιουδαιοι[3] λεγοντες, “Πως δυναται οὑτος ἡμιν
δουναι την σαρκα[4] φαγειν?” 53 Ειπεν ουν αυτοις ὁ Ιησους: “Αμην, αμην λεγω ὑμιν, εαν
μη φαγητε την σαρκα του Υἱου του Ανθρωπου και πιητε αυτου το αἱμα, ουκ εχετε ζωην
εν ἑαυτοις. 54 Ὁ τρωγων μου την σαρκα και πινων μου το αἱμα εχει ζωην αιωνιον, και
εγω[5] αναστησω αυτον[6] τη εσχατη ἡμερα. 55 Ἡ γαρ σαρξ μου αληθως[7] εστιν βρωσις, και το
αἱμα μου αληθως[8] εστιν ποσις. 56 Ὁ τρωγων μου την σαρκα και πινων μου το αἱμα εν
εμοι μενει καγω εν αυτω. 57 Καθως απεστειλεν με ὁ ζων Πατηρ καγω ζω δια τον Πατερα,
και ὁ τρωγων με, κακεινος ζησεται[9] δι’ εμε. 58 Οὑτος εστιν ὁ αρτος ὁ εκ του[10] ουρανου
καταβας—ου καθως εφαγον οἱ πατερες ὑμων[11] το μαννα[12] και απεθανον· ὁ τρωγων μου[13]
τουτον τον αρτον ζησεται[14] εις τον αιωνα.” 59 Ταυτα ειπεν εν συναγωγη διδασκων εν
Καπερναουμ.[15]

[Jesus loses many followers]

60 Πολλοι ουν ακουσαντες εκ των μαθητων αυτου ειπον:[16] “Σκληρος εστιν οὑτος ὁ
λογος![17] Τίς δυναται αυτου ακουειν?” 61 Ειδως δε ὁ Ιησους εν ἑαυτω ὁτι γογγυζουσιν περι
τουτου οἱ μαθηται αυτου, ειπεν αυτοις: “Τουτο ὑμας σκανδαλιζει? 62 Εαν ουν θεωρητε[18]
τον Υἱον του Ανθρωπου αναβαινοντα ὁπου ἦν το προτερον? 63 Το Πνευμα εστιν το ζωο-
ποιουν· ἡ σαρξ ουκ ωφελει ουδεν. Τα ῥηματα ἃ εγω λαλω[19] ὑμιν πνευμα εστιν, και ζωη
εστιν. 64 Αλλ’ εισιν εξ ὑμων τινες οἳ ου πιστευουσιν.” (Ηδει γαρ εξ αρχης ὁ Ιησους τινες
εισιν οἱ μη πιστευοντες, και τίς εστιν ὁ παραδωσων αυτον.) 65 Και ελεγεν, “Δια τουτο
ειρηκα ὑμιν ὁτι ουδεις δυναται ελθειν προς με εαν μη ᾖ δεδομενον αυτω εκ του Πατρος
μου.”[20]

66 Εκ τουτου πολλοι απηλθον των μαθητων αυτου[21] εις τα οπισω και ουκετι μετ’
αυτου περιεπατουν. 67 Ειπεν ουν ὁ Ιησους τοις δωδεκα, “Μη και ὑμεις θελετε ὑπαγειν?”
68 Απεκριθη ουν[22] αυτω Σιμων Πετρος: “Κυριε, προς τίνα απελευσομεθα? Ῥηματα ζωης

[1] ζησεται $\mathbf{f}^{35}$ $P^{66}$B,C [99%] CP,HF,RP,OC,TR || ζησει ℵD,W [1%] NU

[2] η σαρξ μου εστιν ην εγω δωσω υπερ της του κοσμου ζωης $\mathbf{f}^{35}$ [99%] CP,HF,RP,OC,TR || 1-4,8-12 $P^{66,75v}$B,C,D,W [1%] NU || ~ 8-12,1-4 ℵ

[3] προς αλληλους οι ιουδαιοι *rell* || ~ 3412 C,D [3%] CP

[4] σαρκα $\mathbf{f}^{35}$ ℵC,D,W [99.7%] CP,HF,RP,OC,TR || 1 αυτου $P^{66}$B [0.3%] [NU]

[5] και εγω $\mathbf{f}^{35}$ [95%] CP,HF,RP,OC,TR || καγω $P^{66,75}$ℵA,B,C,D,W [5%] NU

[6] αυτον $\mathbf{f}^{35}$ $P^{66,75}$ℵA,B,D,W [75%] CP,HF,RP,TR,NU || 1 εν C [25%] OC

[7] αληθως $\mathbf{f}^{35}$ $P^{66}$(ℵ)(D) (74.3%) CP,HF,RP,OC,TR || αληθης $P^{75}$B,C,T,W (24.5%) NU || long omissions (1.2%) [homoioteleuton]

[8] αληθως $\mathbf{f}^{35}$ $P^{66}$ (74.7%) CP,HF,RP,OC,TR || αληθης $P^{75}$B,C,T,W (22.9%) NU || --- (ℵ)(D) (1.2%) || long omissions (1.2%) [homoioteleuton]

[9] ζησεται $\mathbf{f}^{35}$ $P^{66}$ W [90%] CP,HF,RP,OC,TR || ζησει $P^{75}$ℵB,N [10%] NU || ζη C,D

[10] εκ του $\mathbf{f}^{35}$ $P^{66}$ℵD,N,W (99.6%) CP,HF,RP,OC,TR || εξ $P^{75}$B,C,T (0.4%) NU

[11] υμων $\mathbf{f}^{35}$ ℵD,N (94%) CP,HF,RP,OC,TR || ημων (5.4%) || --- $P^{66,75}$B,C,T,W (0.6%) NU

[12] το μαννα $\mathbf{f}^{35}$ N (92.3%) CP,HF,RP,OC,TR || 12 εν τη ερημω (6.7%) || --- $P^{66,75}$ℵB,C,D,T,W (1%) NU

[13] μου $\mathbf{f}^{35}$ [30%] CP || --- $P^{66,75}$ℵA,B,C,D,N,W [70%] HF,RP,OC,TR,NU

[14] ζησεται $\mathbf{f}^{35}$ $P^{66}$ D [85%] CP,HF,RP,OC,TR || ζησει $P^{75}$ℵB,C,N [15%] NU || ζηση (W)

[15] καπερναουμ $\mathbf{f}^{35}$ N [99%] CP,HF,RP,OC,TR || καφαρναουμ $P^{66,75}$ℵA,B,C(D)W [1%] NU

[16] ειπον *rell* || ειπαν (D) NU

[17] ουτος ο λογος $\mathbf{f}^{35}$ $P^{75}$ [95%] CP,HF,RP,OC,TR || ~ 231 $P^{66}$ℵB,C,D,N,W [5%] NU

[18] θεωρητε *rell* || θεωρειτε [30%] || θεωρησηται $P^{66}$ || ειδηται W || θεωρηται N

[19] λαλω $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,OC,TR || λελαληκα ℵB,C,D,N,W [10%] NU

[20] μου $\mathbf{f}^{35}$ N [99%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,C,D,W [1%] NU

[21] απηλθον των μαθητων αυτου $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,TR || 1 εκ 234 OC [4%] || ~ 2341 C,D,N,W [5%] || ~ 231 ℵ || ~ εκ 2341 $P^{66}$B,T [1%] [NU] (According to TuT 4.6% have εκ, 95.4% do not, but the order of the surrounding words is not given.)

[22] ουν $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,C,N,W [10%] NU || δε D

αιωνιου εχεις. 69 Και ἡμεις πεπιστευκαμεν και εγνωκαμεν ὁτι συ εἶ ὁ Χριστος, ὁ Υἱος[1] του Θεου του ζωντος!”[2] 70 Απεκριθη αυτοις:[3] “Ουκ εγω ὑμας τους δωδεκα εξελεξαμην? Και εξ ὑμων εἷς διαβολος εστιν.” 71 Ελεγεν δε τον Ιουδαν Σιμωνος Ισκαριωτην,[4] οὗτος γαρ εμελλεν αυτον παραδιδοναι,[5] εἷς ων[6] εκ των δωδεκα.

*[Passover, 29 AD]*

**7**.1 Και περιεπατει ὁ Ιησους μετα ταυτα[7] εν τη Γαλιλαια· ου γαρ ηθελεν εν τη Ιουδαια περιπατειν ὁτι εζητουν αυτον οἱ Ιουδαιοι αποκτειναι.

[Jesus and His brothers]

2 Ἠν δε εγγυς ἡ ἑορτη των Ιουδαιων ἡ Σκηνοπηγια. 3 Ειπον ουν προς αυτον οἱ αδελφοι αυτου: “Μεταβηθι εντευθεν και ὑπαγε εις την Ιουδαιαν, ἱνα και οἱ μαθηται σου θεωρησωσιν[8] τα εργα[9] ἃ ποιεις· 4 ουδεις γαρ εν κρυπτω τι[10] ποιει και ζητει αυτος εν παρρησια ειναι. Ει ταυτα ποιεις, φανερωσον σεαυτον τω κοσμω!” 5 Ουδε γαρ οἱ αδελφοι αυτου επιστευον εις αυτον.

6 Λεγει ουν αυτοις ὁ Ιησους: “Ὁ καιρος ὁ εμος ουπω παρεστιν, ὁ δε καιρος ὁ ὑμετερος παντοτε εστιν ἑτοιμος. 7 Ου δυναται ὁ κοσμος μισειν ὑμας, εμε δε μισει ὁτι εγω μαρτυρω περι αυτου ὁτι τα εργα αυτου πονηρα εστιν. 8 Ὑμεις αναβητε εις την ἑορτην ταυτην.[11] Εγω ουπω[12] αναβαινω εις την ἑορτην ταυτην, ὁτι ὁ καιρος ὁ εμος[13] ουπω πεπληρωται.” 9 Ταυτα δε ειπων αυτοις[14] εμεινεν εν τη Γαλιλαια.

### [Jesus leaves Galilee—the last six months of His public ministry]

**7**.10 Ὡς δε ανεβησαν οἱ αδελφοι αυτου, τοτε και αυτος ανεβη εις την ἑορτην,[15] ου φανερως, αλλ’ ὡς[16] εν κρυπτω. 11 Οἱ ουν Ιουδαιοι εζητουν αυτον εν τη ἑορτη και ελεγον, “Που εστιν εκεινος?” 12 Και γογγυσμος πολυς περι αυτου ἦν[17] εν τοις οχλοις· οἱ μεν ελεγον ὁτι “Αγαθος εστιν”, αλλοι[18] ελεγον, “Ου, αλλα πλανα τον οχλον”. 13 Ουδεις μεντοι παρρησια ελαλει περι αυτου δια τον φοβον των Ιουδαιων.

*[Jesus teaches in the Temple]*

14 Ηδη δε της ἑορτης μεσουσης, ανεβη ὁ[19] Ιησους εις το ἱερον και εδιδασκεν. 15 Και εθαυμαζον[20] οἱ Ιουδαιοι λεγοντες, “Πως οὗτος γραμματα οιδεν, μη μεμαθηκως?”

---

[1] ο χριστος ο υιος **f**$^{35}$ N (99.5%) CP,HF,RP,OC,TR || 123 αγιος P$^{66}$ || 3 αγιος P$^{75v}$ℵB,C,D,W (0.5%) NU

[2] του θεου του ζωντος **f**$^{35}$ N (97.7%) CP,HF,RP,OC,TR || 12 P$^{66,75}$ℵB,C,D,W (1.8%) NU || 34 (0.5%)

[3] αυτοις **f**$^{35}$ [70%] CP,HF || 1 ο ιησους P$^{75}$B,C,N [30%] RP,OC,TR,NU || 1 ιησους P$^{66}$ || ιησους και ειπεν 1 ℵ || ο ιησους λεγων D

[4] ισκαριωτην **f**$^{35}$ N (96.3%) CP,HF,RP,OC,TR || ισκαριωτου P$^{66,75}$B,C,W (2.8%) NU || απο καρυωτου ℵ (0.6%) || ισκαριωτ (0.2%) || σκαριωθ D

[5] εμελλεν αυτον παραδιδοναι **f**$^{35}$ (ℵ) (80.2%) CP,HF,RP,OC || ημελλεν 23 P$^{66}$ (14.8%) TR || ~ 132 P$^{75}$B,C,N,W (3%) NU || ~ 213 (0.7%) || ~ ημελλεν 32 D (0.7%) || ~ 2 ημελλεν 3 (0.4%) || two other variants (0.2%)

[6] ων **f**$^{35}$ P$^{66}$ℵN,W [99.5%] CP,HF,RP,OC,TR || --- B,C,D [0.5%] NU

[7] περιεπατει ο ιησους μετα ταυτα **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || ~ 45123 P$^{66,75}$ℵA,C,D,W [10%] NU || ~ 4513 B || ~ 1 μετ αυτων 23 N

[8] θεωρησωσιν **f**$^{35}$ P$^{66}$ [96%] CP,HF,RP,OC,TR || θεωρησουσιν P$^{75}$B,D,N,W [4%] NU || θεωρουσιν ℵ

[9] τα εργα **f**$^{35}$ ℵD [30%] || 12 σου N,W [63.5%] CP,HF,RP,OC,TR || σου 12 P$^{66,75}$B [0.5%] NU || 12 συ [1%]

[10] εν κρυπτω τι **f**$^{35}$ P$^{66}$D,W [95%] CP,HF,RP,OC,TR || ~ 312 P$^{75}$ℵB,N [5%] NU

[11] ταυτην **f**$^{35}$ ℵ [95%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$B,D,N,W [5%] NU

[12] ουπω **f**$^{35}$ P$^{66,75}$B,N,T,W [96.5%] CP,HF,RP,OC,TR || ουκ ℵD [3%] NU || --- [0.5%]

[13] ο καιρος ο εμος **f**$^{35}$ [95%] CP,HF,RP,OC,TR || ~ 342 P$^{66,75}$B,D,N,W [4.5%] NU || ~ 42 ℵ [0.5%]

[14] αυτοις **f**$^{35}$ P$^{75}$B,T (87.5%) CP,HF,RP,OC,TR || αυτος P$^{66}$ℵD,N,W (8.3%) NU || αυτου (0.5%) || --- (3.4%) || two other variants (0.2%)

[15] τοτε και αυτος ανεβη εις την εορτην **f**$^{35}$ D [95%] CP,HF,RP,OC,TR || ~ 5671234 P$^{66,75}$ℵB,N,W [5%] NU

[16] αλλ ως **f**$^{35}$ N,W [99%] CP,HF,RP,OC,TR || αλλα 2 P$^{66,75}$B [0.5%] [NU] || 1 ℵD [0.5%]

[17] πολυς περι αυτου ην **f**$^{35}$ (89.3%) CP,HF,RP,OC,TR || ~ 1423 ℵN (6.5%) || ~ 2341 P$^{75}$B,T,W (1.5%) NU || ~ 4123 (0.5%) || ~ 2314 (0.4%) || ~ 4231 (0.1%) || 123 (0.4%) || 124 (0.8%) || ~ 423 P$^{66}$D (alone) || 14 (0.3%) || two other readings (0.1%)

[18] αλλοι **f**$^{35}$ P$^{66}$ℵD [95%] CP,HF,RP,OC || 1 δε P$^{75}$B,N,W [5%] TR[NU]

[19] ο **f**$^{35}$ D,N,W [99.5%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB [0.5%] NU

[20] και εθαυμαζον **f**$^{35}$ N [98%] CP,HF,RP,OC,TR || ~ 2 ουν P$^{66,75}$ℵB,D,W [2%] NU

16 Απεκριθη ουν[1] αυτοις ὁ[2] Ιησους και ειπεν: "Ἡ εμη διδαχη ουκ εστιν εμη, αλλα του
πεμψαντος με. 17 Εαν τις θελη το θελημα αυτου ποιειν, γνωσεται περι της διδαχης, ποτερον
εκ του Θεου εστιν ἢ εγω απ' εμαυτου λαλω. 18 Ὁ αφ' ἑαυτου λαλων την δοξαν την ιδιαν
ζητει, ὁ δε ζητων την δοξαν του πεμψαντος αυτον, οὗτος αληθης εστιν, και αδικια εν αυτω
ουκ εστιν.

[Moses versus the Jews]

19 "Ου Μωσης[3] δεδωκεν ὑμιν τον νομον? Και ουδεις εξ ὑμων ποιει τον νομον! Τί
με ζητειτε αποκτειναι?" 20 Απεκριθη ὁ οχλος και ειπεν,[4] "Δαιμονιον εχεις! Τίς σε ζητει
αποκτειναι?"

21 Απεκριθη[5] Ιησους και ειπεν αυτοις: "Ἓν εργον εποιησα, και παντες θαυμαζετε.
22 Δια τουτο: Μωσης[6] δεδωκεν ὑμιν την περιτομην (ουχ ὅτι εκ του Μωσεως[7] εστιν, αλλ'
εκ των πατερων), και εν σαββατω περιτεμνετε ανθρωπον. 23 Ει περιτομην λαμβανει ανθρω-
πος εν σαββατω, ἱνα μη λυθη ὁ νομος Μωσεως,[8] εμοι χολατε ὅτι ὁλον ανθρωπον ὑγιη
εποιησα εν σαββατω? 24 Μη κρινετε κατ' οψιν, αλλα την δικαιαν κρισιν κρινατε."[9]

[Public opinion divided]

25 Ελεγον ουν τινες εκ των Ἱεροσολυμιτων: "Ουχ οὗτος εστιν ὃν ζητουσιν αποκ-
τειναι? 26 Και ιδε! Παρρησια λαλει, και ουδεν αυτω λεγουσιν. Μηποτε αληθως εγνωσαν
οἱ αρχοντες ὅτι οὗτος εστιν αληθως[10] ὁ Χριστος? 27 Αλλα τουτον οιδαμεν ποθεν εστιν· ὁ
δε Χριστος ὁταν ερχηται, ουδεις γινωσκει ποθεν εστιν."

28 Εκραξεν ουν εν τω ἱερω διδασκων ὁ Ιησους και λεγων: "Καμε οιδατε, και οιδατε
ποθεν ειμι· και απ' εμαυτου ουκ εληλυθα, αλλ' εστιν αληθινος ὁ πεμψας με, ὃν ὑμεις ουκ
οιδατε. 29 Εγω[11] οιδα αυτον ὅτι παρ' αυτου ειμι, κακεινος με απεστειλεν." 30 Εζητουν ουν
αυτον πιασαι, και ουδεις επεβαλεν επ' αυτον την χειρα ὅτι ουπω εληλυθει ἡ ὡρα αυτου.

31 Πολλοι δε εκ του οχλου επιστευσαν[12] εις αυτον, και ελεγον ὅτι[13] "Ὁ Χριστος
ὁταν ελθη, μητι[14] πλειονα σημεια[15] ποιησει ὧν οὗτος εποιησεν?" 32 Ηκουσαν[16] οἱ Φαρισαιοι
του οχλου γογγυζοντος περι αυτου ταυτα, και απεστειλαν ὑπηρετας οἱ Φαρισαιοι και οἱ
αρχιερεις[17] ἱνα πιασωσιν αυτον.

33 Ειπεν ουν[18] ὁ Ιησους: "Ετι μικρον χρονον[19] μεθ' ὑμων ειμι, και ὑπαγω προς τον
πεμψαντα με. 34 Ζητησετε με και ουχ εὑρησετε·[20] και, ὁπου ειμι εγω ὑμεις ου δυνασθε
ελθειν." 35 Ειπον ουν οἱ Ιουδαιοι προς ἑαυτους: "Που οὗτος μελλει πορευεσθαι ὅτι ἡμεις
ουχ εὑρησομεν αυτον? Μη εις την διασποραν των Ἑλληνων μελλει πορευεσθαι και

---

[1] ουν *rell* || --- D [20%] TR

[2] ο **f**$^{35}$ P$^{66}$D(N)W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- אB [0.5%]

[3] μωσης **f**$^{35}$ [90%] CP,HF,RP,TR || μωυσης P$^{66}$אB,D,N,W [10%] OC,NU

[4] και ειπεν **f**$^{35}$ D,N [95%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$אB,W [1%] NU || 1 ειπον αυτω [4%]

[5] απεκριθη *rell* || 1 ο D,N,W [20%] TR

[6] μωσης **f**$^{35}$ [85%] CP,HF,RP,TR || μωυσης P$^{66,75}$(א)B(D)N,W [15%] OC,NU

[7] μωσεως **f**$^{35}$ אN [95%] CP,HF,RP,TR || μωυσεως P$^{66}$B,D,W [5%] OC,NU

[8] μωσεως **f**$^{35}$ [85%] CP,HF,RP,TR || μωυσεως P$^{66,75}$אB(D)N,W [15%] OC,NU

[9] κρινατε **f**$^{35}$ א [99%] CP,HF,RP,OC,TR || κρινετε P$^{66,75}$B,N [1%] NU || κρεινετε D || κρινεται W

[10] αληθως **f**$^{35}$ [90%] HF,RP,OC,TR || --- P$^{66,75}$אB,D,N,W [10%] CP,NU

[11] εγω **f**$^{35}$ P$^{75}$B,W [75%] CP,HF,RP,OC,NU || 1 δε P$^{66}$אD,N [25%] TR

[12] πολλοι δε εκ του οχλου επιστευσαν **f**$^{35}$ [93%] CP,HF,RP,OC,TR || ~ 345216 P$^{75v}$B [0.5%] NU || ~ 126345 P$^{66}$אD [0.5%] || ~ 345 ουν 6 [5%] || ~ 34516 [1%] || ~ 34 ουν 516 W || ~ 345 ου 16 N

[13] οτι **f**$^{35}$ [95%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$אB,D,N,W [5%] NU

[14] μητι **f**$^{35}$ N [95%] CP,HF,RP,OC,TR || μη P$^{66,75}$אB,D,W [5%] NU

[15] σημεια **f**$^{35}$ P$^{66,75}$אB,D,N,W [40%] CP,NU || 1 τουτων [55%] HF,RP,OC,TR || τουτων 1 [5%]

[16] ηκουσαν *rell* || 1 ουν N [15%] || 1 δε P$^{66}$אD || ~ και 1 [1%]

[17] υπηρετας οι φαρισαιοι και οι αρχιερεις **f**$^{35}$ [80%] CP,HF,RP,OC || ~ 234561 [10%] TR || ~ 564231 P$^{75}$(B)N,W [10%] NU || ~ 126453 P$^{66}$D || ~ τους 126453 א

[18] ουν *rell* || 1 αυτοις [5%] TR

[19] μικρον χρονον **f**$^{35}$ (D)N [98%] CP,HF,RP,OC,TR || ~ 21 P$^{66,75}$א(B)W [2%] NU

[20] ευρησετε **f**$^{35}$ P$^{66}$אD,W [99.5%] CP,HF,RP,OC,TR || 1 με P$^{75}$B,N [0.5%] [NU]

διδασκειν τους Ἑλληνας? 36 Τίς εστιν οὗτος ὁ λογος[1] ὃν ειπεν, ‘Ζητησετε με και ουχ
εὑρησετε·[2] και, ὁπου ειμι εγω ὑμεις ου δυνασθε ελθειν’?”

*[The last day of the feast]*

37 Εν δε τη εσχατη ἡμερα τη μεγαλη της ἑορτης, εἱστηκει ὁ Ιησους και εκραξεν,
λεγων: “Εαν τις διψα, ερχεσθω προς με και πινετω. 38 Ὁ πιστευων εις εμε, καθως ειπεν
ἡ Γραφη, ποταμοι εκ της κοιλιας αυτου ῥευσουσιν ὑδατος ζωντος.” 39 (Τουτο δε ειπεν περι
του Πνευματος, ὃ[3] ημελλον[4] λαμβανειν οἱ πιστευοντες[5] εις αυτον, ουπω γαρ ἦν Πνευμα
Ἁγιον[6] ὁτι[7] Ιησους ουδεπω εδοξασθη.)

40 Πολλοι ουν εκ του οχλου[8] ακουσαντες τον λογον[9] ελεγον, “Οὗτος εστιν αληθως
ὁ Προφητης!” 41 Αλλοι ελεγον, “Οὗτος εστιν ὁ Χριστος!” Αλλοι ελεγον:[10] “Μη γαρ εκ της
Γαλιλαιας ὁ Χριστος ερχεται? 42 Ουχι[11] ἡ Γραφη ειπεν ὁτι εκ του σπερματος Δαυιδ, και
απο Βηθλεεμ, της κωμης ὁπου ἦν Δαυιδ, ὁ Χριστος ερχεται?”[12] 43 Σχισμα ουν εν τω οχλω
εγενετο[13] δι’ αυτον. 44 Τινες δε ηθελον εξ αυτων πιασαι αυτον, αλλ’ ουδεις επεβαλεν επ’
αυτον τας χειρας.

[The operatives are empty-handed]

45 Ηλθον ουν οἱ ὑπηρεται προς τους αρχιερεις και Φαρισαιους, και ειπον αυτοις
εκεινοι, “Δια τί ουκ ηγαγετε αυτον?” 46 Απεκριθησαν οἱ ὑπηρεται, “Ουδεποτε οὕτως ελαλη-
σεν ανθρωπος[14] ὡς οὗτος ὁ ανθρωπος!”[15] 47 Απεκριθησαν ουν αυτοις οἱ Φαρισαιοι: “Μη
και ὑμεις πεπλανησθε? 48 Μη τις εκ των αρχοντων επιστευσεν εις αυτον ἢ εκ των Φαρι-
σαιων? 49 Αλλ’[16] ὁ οχλος οὗτος, ὁ μη γινωσκων τον νομον, επικαταρατοι[17] εισιν!”

50 Λεγει Νικοδημος προς αυτους (ὁ ελθων νυκτος προς αυτον,[18,19] εἷς ων εξ αυτων),
51 “Μη ὁ νομος ἡμων κρινει τον ανθρωπον εαν μη ακουση παρ’ αυτου προτερον[20] και γνω
τί ποιει?” 52 Απεκριθησαν και ειπον[21] αυτω: “Μη και συ εκ της Γαλιλαιας εἶ? Ερευνησον[22]

---

1 ουτος ο λογος **f**$^{35}$ א [90%] CP,HF,RP,OC,TR || ~ 231 $P^{66,75v}$B,D,N,W [10%] NU

2 ευρησετε **f**$^{35}$ $P^{66}$אD,N,W [99.5%] CP,HF,RP,OC,TR || 1 με $P^{75}$B [0.5%] [NU]

3 ο **f**$^{35}$ $P^{75}$B [30%] NU || ου $P^{66}$אD,N,W [70%] CP,HF,RP,OC,TR

4 ημελλον **f**$^{35}$ א [50%] || εμελλον $P^{66,75}$B,D,N [50%] CP,HF,RP,OC,TR,NU || --- W

5 πιστευοντες **f**$^{35}$ אD,N [99.5%] CP,HF,RP,OC,TR || πιστευσαντες $P^{66}$B,W [0.5%] NU

6 αγιον **f**$^{35}$ $P^{66}$N,W (97.1%) CP,HF,RP,OC,TR || --- $P^{75}$אT (1.9%) NU || 1 δεδομενον B (0.7%) || 1 επ αυτοις D (alone) || four other variants (0.3%)

7 οτι *rell* || 1 ο [15%] TR

8 πολλοι ουν εκ του οχλου **f**$^{35}$ N [97.5%] CP,HF,RP,OC,TR || ~ 3452 $P^{75}$אB,D,W [2%] NU || 1345 οι $P^{66}$ || four other variants

9 τον λογον **f**$^{35}$ (53.2%) CP,HF,RP,OC,TR || των λογων (18.5%) || 12 αυτου (8.7%) || 12 τουτον (7.8%) || των λογων αυτου W (5.7%) || των λογων τουτων $P^{75}$B,N,T (5.1%) NU || αυτου των λογων τουτων $P^{66}$אD || --- (0.5%) || five further variants (0.4%)

10 αλλοι ελεγον **f**$^{35}$ $P^{66}$א(D) [85%] CP,HF,RP,OC || 1 δε 2 [10%] TR || οι δε 2 $P^{75}$B,N,W [2%] NU || --- [3%]

11 ουχι **f**$^{35}$ א(D,W) [99.5%] CP,HF,RP,OC,TR || ουχ $P^{66,75}$ [0.5%] NU || ουκ B,N

12 ο χριστος ερχεται **f**$^{35}$ $P^{66}$א(D) (97.1%) CP,HF,RP,OC,TR || ~ 312 $P^{75}$B,T,W (0.8%) NU || 12 ερχετε N || 3 (0.5%) || long omissions (1.6%)

13 εν τω οχλω εγενετο **f**$^{35}$ [99%] CP,HF,RP,OC,TR || ~ 4123 $P^{66,75}$אB,N,W [1%] NU || ~ 4 εις τον οχλον D

14 ουτως ελαλησεν ανθρωπος **f**$^{35}$ [98%] CP,HF,RP,OC,TR || ~ 132 $P^{66}$אD || ~ 213 $P^{75}$B,N,W [1%] NU || two other readings

15 ως ουτος ο ανθρωπος **f**$^{35}$ (97.9%) CP,HF,RP,OC,TR || ~ 1342 (0.4%) || 1234 λαλει (0.4%) || 12 λαλει 34 $P^{66}$א (0.2%) || 12 λαλει D (0.2%) || --- $P^{75}$B,T,W (1%) NU

16 αλλ **f**$^{35}$ אN,W [99.5%] CP,HF,RP,OC,TR || αλλα $P^{66}$B,D [0.5%] NU

17 επικαταρατοι **f**$^{35}$ D,N [99%] CP,HF,RP,OC,TR || επαρατοι $P^{66}$אB,W [1%] NU || απαρατοι $P^{75}$

18 νυκτος προς αυτον **f**$^{35}$ (89.1%) CP,HF,RP,OC,TR || ~ 231 D,N (8.2%) || 23 $P^{66,75}$B,T,W (0.7%) NU || 12 τον ιησουν (1.2%) || long omissions א (0.8%)

19 αυτον **f**$^{35}$ N (95.8%) CP,HF,RP,OC,TR || 1 το προτερον $P^{66}$(W) (2.7%) [NU] || 1 προτερον $P^{75}$B,T (0.7%) || 1 το πρωτον D (0.3%) || omit clause א (0.5%)

20 παρ αυτου προτερον **f**$^{35}$ [85%] CP,HF,RP,OC,TR || ~ πρωτον 12 $P^{66,75}$B,D,N,W [10%] NU || πρωτον א || 12 πρωτον [5%]

21 ειπον **f**$^{35}$ א [97%] CP,HF,RP,OC,TR || ειπαν $P^{66,75}$B,D,N,W [3%] NU

22 ερευνησον **f**$^{35}$ $P^{66}$D,N [99.5%] CP,HF,RP,OC,TR || εραυνησον $P^{75}$אB,W [0.5%] NU

και ιδε, ὁτι προφητης εκ της Γαλιλαιας[1] ουκ εγηγερται.”[2,3] 53 Και απηλθεν[4] ἑκαστος εις
τον οικον αυτου.

*[The Light of the world at work]*

**8**.1 Ιησους δε[5] επορευθη εις το Ορος των Ελαιων. 2 Ορθρου δε παλιν[6] παρεγενετο[7]
εις το ἱερον, και πας ὁ λαος ηρχετο προς αυτον·[8] και καθισας εδιδασκεν αυτους.

[A dirty deal]

3 Αγουσιν δε οἱ γραμματεις και οἱ Φαρισαιοι προς αυτον[9] γυναικα επι[10] μοιχεια
κατειλημμενην·[11] και στησαντες αυτην εν[12] μεσω 4 λεγουσιν[13] αυτω:[14] “Διδασκαλε, ταυτην
εὑρομεν[15] επ’ αυτοφωρω[16] μοιχευομενην.[17] 5 Εν δε[18] τω νομω ἡμων Μωσης[19] ενετειλατο τας
τοιαυτας λιθοβολεισθαι.[20] Συ ουν τί λεγεις?”[21] 6 Τουτο δε ελεγον[22] πειραζοντες[23] αυτον,
ἱνα εχωσιν[24] κατηγοριαν κατ’[25] αυτου.

Ὁ δε Ιησους κατω κυψας, τω δακτυλω εγραφεν[26] εις την γην, μη προσποιουμενος.[27]
7 Ὡς δε επεμενον ερωτωντες[28] αυτον, ανακυψας[29] ειπεν προς αυτους,[30] “Ὁ αναμαρτητος

---

[1] προφητης εκ της γαλιλαιας $\mathbf{f}^{35}$ ℵD,W (97.5%) CP,HF,RP,OC,TR || ~ 2341 $P^{75}$(B)N,T (2.2%) NU || ~ 234 ο 1 $P^{66}$ || two other readings (0.2%)

[2] εγηγερται $\mathbf{f}^{35}$ [70%] CP,HF,RP,OC,TR || εγειρεται $P^{66,75}$ℵB,D,W [10%] NU || εγειγερται [20%] || εγιρετε N

[3] Verses 7:53-8:11 are omitted in about 15% of the extant MSS, including all the early uncials except Codex D (Codex C has a large lacuna from 7:3 – 8:34, while Codex A has a larger one, 6:50 – 8:52). For these verses I will cite the groups posited by von Soden as used in the H-F apparatus, rather than give percentages ($\mathbf{M}^{7}$ becomes $\mathbf{f}^{35}$); however, Robinson’s collations have demonstrated that Soden ‘regularized’ the data rather drastically, so the H-F apparatus may in fact be rather misleading. For all that, until Robinson’s collations are fully analyzed, and the result made public, it’s the best we can do, except that I personally checked all the $\mathbf{f}^{35}$ MSS (in Robinson’s collations) and guarantee that the citation of $\mathbf{f}^{35}$ is correct—it represents 245 MSS in these verses. The two other large groups, $\mathbf{M}^{5\&6}$, do exist, although rather ‘fuzzier’ than Soden let on; if the lesser groups, $\mathbf{M}^{1,2,3,4}$, can actually be extracted from the morrass of variation, they will presumably qualify as secondary developments, based on the three main groups. NU places the whole pericope within [[ ]], which means that it is regarded as a later addition.

[4] απηλθεν $\mathbf{f}^{35}$ $\mathbf{M}^{4pt,6}$ HF,OC || απηλθον $\mathbf{M}^{4pt}$ || επορευθη $\mathbf{M}^{3,5}$ CP,RP,TR || επορευθησαν $\mathbf{M}^{1,2}$ D,NU

[5] ιησους δε $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,3,5}$ D,CP,RP,OC,TR,NU || ~ και 1 $\mathbf{M}^{4}$ || ~ και ο 1 $\mathbf{M}^{6}$ HF

[6] παλιν $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,3.4,5}$ D,CP,RP,OC,TR,NU || 1 βαθεως $\mathbf{M}^{6}$ HF

[7] παρεγενετο $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,3,5}$ (D)CP,RP,OC,TR,NU || ηλθεν ο ιησους $\mathbf{M}^{6}$ HF || ηλθεν $\mathbf{M}^{4}$

[8] προς αυτον *rell* || --- $\mathbf{M}^{5}$ RP

[9] προς αυτον $\mathbf{f}^{35}$ $\mathbf{M}^{1pt,3pt,5,6pt}$ CP,HF,RP,TR || --- $\mathbf{M}^{1pt,2,3pt,4,6pt}$ D,OC,NU

[10] επι $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,3.4,6}$ (D)CP,HF,OC,NU || εν $\mathbf{M}^{5}$ RP,TR

[11] κατειλημμενην *rell* || καταληφθησαν $\mathbf{M}^{5}$ RP

[12] εν $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,5}$ D,CP,RP,OC,TR,NU || 1 τω $\mathbf{M}^{3,4,6}$ HF

[13] λεγουσιν $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,5}$ D,CP,RP,OC,TR,NU || ειπον $\mathbf{M}^{3,4,6}$ HF

[14] αυτω $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,3.4,6}$ CP,HF,OC,TR,NU || 1 πειραζοντες $\mathbf{M}^{5}$ (D)RP

[15] ταυτην ευρομεν $\mathbf{f}^{35}$ $\mathbf{M}^{6}$ CP,HF || αυτη η γυνη κατεληφθη $\mathbf{M}^{5}$ RP,TR || αυτη η γυνη ειληπται $\mathbf{M}^{2,3,4}$ || αυτη η γυνη κατειληπται $\mathbf{M}^{1}$ D,OC,NU

[16] αυτοφωρω $\mathbf{f}^{35}$ D [40%] HF,OC,TR,NU || αυτοφορω [60%] CP,RP (This split cuts across party lines—33% of $\mathbf{f}^{35}$ reads -φορω—and so is not diagnostic.)

[17] μοιχευομενην $\mathbf{f}^{35}$ $\mathbf{M}^{6}$ CP,HF || μοιχευομενη $\mathbf{M}^{1,2,3,4,5}$ D,RP,OC,TR,NU

[18] εν δε *rell* || ~ και 1 OC

[19] ημων μωσης $\mathbf{f}^{35}$ $\mathbf{M}^{2,3pt,6}$ CP,HF || 1 μωυσης OC || ~ 2 ημιν $\mathbf{M}^{1pt,5}$ RP,TR || ημιν 2 $\mathbf{M}^{3pt,4}$ NU || 1 (D)

[20] λιθοβολεισθαι $\mathbf{f}^{35}$ $\mathbf{M}^{1pt,5}$ CP,RP,TR || λιθαζειν $\mathbf{M}^{1pt,2,3,4,6}$ D,HF,OC,NU

[21] λεγεις $\mathbf{f}^{35}$ $\mathbf{M}^{1pt,5,6pt}$ CP,RP,OC,TR,NU || 1 περι αυτης $\mathbf{M}^{1pt,2,3,4,6pt}$ D,HF

[22] ελεγον *rell* || ειπον OC

[23] πειραζοντες *rell* || εκπειραζοντες OC

[24] εχωσιν *rell* || σχωσιν OC

[25] κατηγοριαν κατ $\mathbf{f}^{35}$ $\mathbf{M}^{2,3,4,6}$ CP,HF,OC || κατηγορειν $\mathbf{M}^{1,5}$ RP,TR,NU || --- D

[26] εγραφεν *rell* || κατεγραφεν $\mathbf{M}^{2pt}$ D,NU

[27] μη προσποιουμενος $\mathbf{f}^{35}$ $\mathbf{M}^{1pt,5,6pt}$ CP,RP || --- $\mathbf{M}^{1pt,2,3,4,6pt}$ D,HF,OC,TR,NU

[28] ερωτωντες $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2pt,3,4,5}$ D,CP,RP,OC,TR,NU || επερωτωντες $\mathbf{M}^{2pt,6}$ HF

[29] ανακυψας $\mathbf{f}^{35}$ $\mathbf{M}^{1pt,5}$ CP,RP,TR || ανεκυψεν και $\mathbf{M}^{2,3,4}$ D,OC,NU || αναβλεψας $\mathbf{M}^{6}$ HF

[30] προς αυτους $\mathbf{f}^{35}$ $\mathbf{M}^{5}$ CP,RP,TR || αυτοις $\mathbf{M}^{1,2,3,4,6}$ D,HF,OC,NU

ὑμων πρωτος[1] τον λιθον επ’ αυτη βαλετω”.[2] 8 Και παλιν κατω κυψας[3] εγραφεν εις την γην.
9 Οἱ δε ακουσαντες, και ὑπο της συνειδησεως ελεγχομενοι,[4] εξηρχοντο εἱς καθ’ εἱς,[5] αρξα-
μενοι απο των πρεσβυτερων ἑως των εσχατων.[6] Και κατελειφθη μονος ὁ Ιησους,[7] και ἡ
γυνη εν μεσω ουσα.[8]

10 Ανακυψας δε ὁ Ιησους και μηδενα θεασαμενος πλην της γυναικος[9] ειπεν αυτη:[10]
“Που εισιν εκεινοι οἱ κατηγοροι σου?[11] Ουδεις σε κατεκρινεν?” 11 Ἡ δε ειπεν, “Ουδεις,
Κυριε”. Ειπεν δε αυτη ὁ Ιησους,[12] “Ουδε εγω σε κατακρινω·[13] πορευου, και απο του νυν[14]
μηκετι ἁμαρτανε.”[15]

[Jesus dialogs with the Pharisees]

12 Παλιν ουν αυτοις ὁ Ιησους ελαλησεν[16] λεγων: “Εγω ειμι το φως του κοσμου. Ὁ
ακολουθων εμοι ου μη περιπατηση[17] εν τη σκοτια, αλλ’ ἑξει το φως της ζωης.” 13 Ειπον
ουν αυτω οἱ Φαρισαιοι, “Συ περι σεαυτου μαρτυρεις· ἡ μαρτυρια σου ουκ εστιν αληθης”.
14 Απεκριθη Ιησους και ειπεν αυτοις: “Καν εγω μαρτυρω περι εμαυτου, αληθης εστιν ἡ
μαρτυρια μου, ὁτι οιδα ποθεν ηλθον και που ὑπαγω· ὑμεις δε ουκ οιδατε ποθεν ερχομαι
ἡ[18] που ὑπαγω. 15 Ὑμεις κατα την σαρκα κρινετε· εγω ου κρινω ουδενα. 16 Και εαν κρινω
δε εγω, ἡ κρισις ἡ εμη αληθης[19] εστιν· ὁτι μονος ουκ ειμι, αλλ’ εγω και ὁ πεμψας με
Πατηρ. 17 Και εν τω νομω δε τω ὑμετερω γεγραπται ὁτι δυο ανθρωπων ἡ μαρτυρια αληθης
εστιν: 18 Εγω ειμι ὁ μαρτυρων περι εμαυτου, και μαρτυρει περι εμου ὁ πεμψας με Πατηρ.”
19 Ελεγον ουν αυτω, “Που εστιν ὁ Πατηρ σου?” Απεκριθη[20] Ιησους: “Ουτε εμε οιδατε ουτε
τον Πατερα μου. Ει εμε ηδειτε, και τον Πατερα μου ηδειτε αν.”[21] 20 Ταυτα τα ῥηματα
ελαλησεν ὁ Ιησους[22] εν τω γαζοφυλακιω, διδασκων εν τω ἱερω· και ουδεις επιασεν αυτον,
ὁτι ουπω εληλυθει ἡ ὡρα αυτου.

[“You will die in your sins”]

21 Ειπεν ουν παλιν αυτοις ὁ Ιησους:[23] “Εγω ὑπαγω, και ζητησετε με, και εν τη
ἁμαρτια ὑμων αποθανεισθε. Ὁπου εγω ὑπαγω ὑμεις ου δυνασθε ελθειν.” 22 Ελεγον ουν οἱ
Ιουδαιοι, “Μητι αποκτενει ἑαυτον, ὁτι λεγει, ‘Ὁπου εγω ὑπαγω ὑμεις ου δυνασθε ελθειν’?”

---

[1] πρωτος $\mathbf{f}^{35}$ D [50%] CP,HF,OC,TR,NU || πρωτον [50%] RP (This split also cuts across party lines, except that $\mathbf{f}^{35}$ is solid.)

[2] τον λιθον επ αυτη βαλετω $\mathbf{f}^{35}$ CP,TR || ~ 3 αυτην 125 $\mathbf{M}^{5}$ RP || ~ 253 αυτην $\mathbf{M}^{6}$ HF || ~ 3 αυτην 52 $\mathbf{M}^{1pt,2pt,4}$ D,NU || ~ 34512 $\mathbf{M}^{2pt,3}$ || ~ 34125 $\mathbf{M}^{1pt}$ || ~ 523 αυτην OC (The reading of OC is found in 90 MSS and 270 lectionaries, as collated by Robinson—it dominates the lectionaries.)

[3] κατω κυψας *rell* || κατακυψας D,NU

[4] και υπο της συνειδησεως ελεγχομενοι $\mathbf{f}^{35}$ $\mathbf{M}^{5,6pt}$ CP,RP,TR || --- $\mathbf{M}^{1,2,3,6pt}$ (D)HF,OC,NU || 1 ($\mathbf{M}^{4}$)

[5] καθ’ εἱς *rell* || καθέις $\mathbf{f}^{35}$ CP (I include this information for the record and so as not to lose sight of it, but since the *theta* indicates the presence of aspiration (rough breathing) there is no ambiguity. I stay with the conventional pointing.)

[6] εως των εσχατων $\mathbf{f}^{35}$ $\mathbf{M}^{1pt,2,3,4,6}$ CP,HF,TR || --- $\mathbf{M}^{1pt,5}$ RP,OC,NU || D is wild

[7] μονος ο ιησους $\mathbf{f}^{35}$ $\mathbf{M}^{2,5,6pt}$ CP,HF,RP,TR || ~ 231 $\mathbf{M}^{1pt,6pt}$ || 23 $\mathbf{M}^{3,4}$ OC || 1 D,NU

[8] ουσα *rell* || εστωσα $\mathbf{M}^{1pt}$ TR

[9] και μηδενα θεασαμενος πλην της γυναικος $\mathbf{f}^{35}$ $\mathbf{M}^{5}$ CP,RP,TR || ειδεν αυτην και $\mathbf{M}^{3,4,6}$ HF || --- $\mathbf{M}^{1,2}$ D,OC,NU

[10] αυτη $\mathbf{f}^{35}$ $\mathbf{M}^{5}$ CP,RP || γυναι $\mathbf{M}^{3pt,6}$ HF || 1 γυναι $\mathbf{M}^{1pt,2,3pt,4}$ OC,NU || 1 η γυνη TR || D is wild

[11] εκεινοι οι κατηγροι σου $\mathbf{f}^{35}$ $\mathbf{M}^{5,6pt}$ CP,RP,TR || 234 $\mathbf{M}^{1,2pt,3,4,6pt}$ HF || --- $\mathbf{M}^{2pt}$ D,OC,NU

[12] ειπεν δε αυτη ο ιησους $\mathbf{f}^{35}$ $\mathbf{M}^{1pt,6}$ CP,HF,TR || 1245 $\mathbf{M}^{2,5}$ RP,OC || ~ 42513 $\mathbf{M}^{3,4}$ NU || ~ 421 D

[13] κατακρινω *rell* || κρινω $\mathbf{M}^{5}$ RP

[14] και απο του νυν $\mathbf{f}^{35}$ $\mathbf{M}^{1,2,3,6}$ CP,HF,OC[NU] || 1 $\mathbf{M}^{4pt,5}$ RP,TR || --- $\mathbf{M}^{4pt}$ || 234 D

[15] 7:53-8:11 $\mathbf{f}^{35}$ D (85%) CP,HF,RP‹‹OC››TR[[NU]] || --- $P^{66,75}$ℵB,N,T,W (15%)

[16] αυτοις ο ιησους ελαλησεν $\mathbf{f}^{35}$ [87%] CP,HF,RP,OC || ~ 2314 [5%] TR || ~ 1423 $P^{66}$ℵ(W) [5%] NU || ~ 143 $P^{75v}$B || ~ 4123 D [2%] || ~ 2341 [1%] || 12341 N

[17] περιπατηση *rell* || περιπατησει D [30%] TR

[18] η $\mathbf{f}^{35}$ $P^{39,66,75c}$B,D(N)T [40%] CP,OC,NU || και $P^{75}$ℵW [50%] HF,RP,TR || omit whole clause [10%]

[19] αληθης $\mathbf{f}^{35}$ $P^{66}$ℵN (97.6%) CP,HF,RP,OC,TR || αληθινη $P^{75}$B,D,T,W (1%) NU || αληθεια (0.2%) || δικαια (1%) || various omissions (0.3%) [homoioteleuton]

[20] απεκριθη $\mathbf{f}^{35}$ $P^{66,75}$B,D [85%] HF,RP,OC,NU || 1 ο ℵN,W [15%] CP,TR

[21] ηδειτε αν $\mathbf{f}^{35}$ (ℵ) [98%] CP,HF,RP,OC,TR || ~ 21 $P^{39v,66,75}$B(N)W [2%] NU || 1 D

[22] ο ιησους $\mathbf{f}^{35}$ (N) [97%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,D,W [3%] NU

[23] ο ιησους $\mathbf{f}^{35}$ N (98%) CP,HF,RP,OC,TR || --- $P^{39,66,75}$ℵB,D,T,W (1.7%) NU || omit clause (0.3%)

23 Και ειπεν[1] αυτοις: “Ὑμεις εκ των κατω εστε· εγω εκ των ανω ειμι. Ὑμεις εκ του
κοσμου τουτου[2] εστε· εγω ουκ ειμι εκ του κοσμου τουτου. 24 Ειπον ουν ὑμιν ὁτι αποθανεισθε
εν ταις ἁμαρτιαις ὑμων· εαν γαρ μη πιστευσητε ὁτι εγω ειμι, αποθανεισθε εν ταις ἁμαρτιαις
ὑμων.” 25 Ελεγον ουν αυτω, “Συ τίς εἶ?” Και ειπεν[3] αυτοις ὁ Ιησους: “Την αρχην ὅ τι
και λαλω ὑμιν. 26 Πολλα εχω περι ὑμων λαλειν και κρινειν, αλλ’ ὁ πεμψας με αληθης
εστιν, καγω ἃ ηκουσα παρ’ αυτου—ταυτα λεγω[4] εις τον κοσμον.” 27 Ουκ εγνωσαν ὁτι τον
Πατερα αυτοις ελεγεν. 28 Ειπεν ουν αυτοις[5] ὁ Ιησους: “Ὁταν ὑψωσητε τον Υἱον του
Ανθρωπου, τοτε γνωσεσθε ὁτι εγω ειμι και απ’ εμαυτου ποιω ουδεν, αλλα καθως εδιδαξεν
με ὁ Πατηρ μου,[6] ταυτα λαλω. 29 Και ὁ πεμψας με μετ’ εμου εστιν. Ουκ αφηκεν με μονον
ὁ Πατηρ,[7] ὁτι εγω τα αρεστα αυτω ποιω παντοτε.”

["The Truth will make you free"]

30 Ταυτα αυτου λαλουντος, πολλοι επιστευσαν εις αυτον. 31 Ελεγεν ουν ὁ Ιησους
προς τους πεπιστευκοτας αυτω Ιουδαιους: “Εαν ὑμεις μεινητε εν τω λογω τω εμω, αλη-
θως μαθηται μου εστε· 32 και γνωσεσθε την Αληθειαν, και ἡ Αληθεια ελευθερωσει ὑμας.”
33 Απεκριθησαν και ειπον[8] αυτω:[9] “Σπερμα Ἀβρααμ[10] εσμεν και ουδενι δεδουλευκαμεν
πωποτε. Πως συ λεγεις ὁτι ‘Ελευθεροι γενησεσθε’?” 34 Απεκριθη αυτοις ὁ Ιησους: “Αμην,
αμην λεγω ὑμιν ὁτι πας ὁ ποιων την ἁμαρτιαν δουλος εστιν της ἁμαρτιας. 35 Ὁ δε δουλος
ου μενει εν τη οικια εις τον αιωνα· ὁ υἱος μενει εις τον αιωνα. 36 Εαν ουν ὁ Υἱος ὑμας
ελευθερωση, οντως ελευθεροι εσεσθε. 37 Οιδα ὁτι σπερμα Ἀβρααμ εστε, αλλα ζητειτε με
αποκτειναι ὁτι ὁ λογος ὁ εμος ου χωρει εν ὑμιν. 38 Εγω ὃ[11] ἑωρακα παρα τω Πατρι μου,[12]
λαλω, και ὑμεις ουν ὃ[13] ἑωρακατε[14] παρα τω πατρι[15] ὑμων[16] ποιειτε.”

["Your father is the devil"]

39 Απεκριθησαν και ειπον[17] αυτω, “Ὁ πατηρ ἡμων Ἀβρααμ εστιν!” Λεγει αυτοις
ὁ Ιησους: “Ει τεκνα του Ἀβρααμ ητε,[18] τα εργα του Ἀβρααμ εποιειτε·[19] 40 νυν δε ζητειτε
με αποκτειναι, ανθρωπον ὃς την αληθειαν ὑμιν λελαληκα ἣν ηκουσα παρα του Θεου. Τουτο
Ἀβρααμ ουκ εποιησεν! 41 Ὑμεις ποιειτε τα εργα του πατρος ὑμων.” Ειπον ουν[20] αυτω,
“Ἡμεις εκ πορνειας ου γεγεννημεθα· ἑνα Πατερα εχομεν—τον Θεον.” 42 Ειπεν ουν[21] αυτοις

---

[1] και ειπεν **f**$^{35}$ [97%] CP,HF,RP,OC,TR || 1 ελεγεν P$^{75}$B,D,N,W [3%] NU || ελεγεν ουν P$^{66}$א

[2] του κοσμου τουτου **f**$^{35}$ אD,N (95.8%) CP,HF,RP,OC,TR || ~ 312 P$^{66,75}$B,T,W (0.7%) NU || 12 (2%) || various long omissions (1.5%) [homoioteleuton]

[3] και ειπεν **f**$^{35}$ N [90%] CP,HF,RP,OC,TR || 2 P$^{66,75}$B,W [9.5%] NU || ~ 2 ουν אD [0.5%]

[4] λεγω **f**$^{35}$ [80%] CP,HF,RP,OC,TR || λαλω P$^{66,75}$אB,D,N,W [20%] NU

[5] αυτοις **f**$^{35}$ P$^{75}$N (97%) CP,HF,RP,OC,TR[NU] || --- P$^{66}$B,T,W (0.8%) || 1 παλιν (א)D (0.9%) || παλιν 1 (1%) || long omissions (0.2%)

[6] μου **f**$^{35}$ B [98%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$אD,N,W [2%] NU

[7] ο πατηρ **f**$^{35}$ N [96%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$אB,D,W [4%] NU

[8] και ειπον **f**$^{35}$ [30%] || --- P$^{66,75}$אB,D,N,W [70%] CP,HF,RP,OC,TR,NU

[9] αυτω **f**$^{35}$ [99%] CP,HF,RP,OC,TR || προς αυτον P$^{66,75}$אB(D)W [1%] NU || 1 οι ιουδαιοι N

[10] ἀβρααμ **f**$^{35}$ [50%] || αβρααμ *rell*

[11] εγω ο **f**$^{35}$ (92.7%) CP,HF,RP,OC,TR || ~ α 1 P$^{66,75}$אB,C,W (0.6%) NU || 1 α D,N (4.8%) || 1 (1.4%) || 1 οσα (0.1%) || various omissions (0.4%) [homoioteleuton]

[12] μου **f**$^{35}$ א(D)N (97.8%) CP,HF,RP,OC,TR || --- P$^{66,75}$B,C(W) (1.1%) NU || three other variants (0.2%) || various long omissions (0.9%) [homoioteleuton]

[13] ο **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || α P$^{66,75}$אB,C,D,N,W [10%] NU

[14] εωρακατε **f**$^{35}$ P$^{66}$אD,N (86.8%) CP,HF,RP,OC,TR || ηκουσατε P$^{75}$B,C,W (10%) NU || εορακατε (2.4%) || three other variants (0.2%) || long omissions (0.7%) [homoioteleuton]

[15] τω πατρι **f**$^{35}$ D,N (89.5%) CP,HF,RP,OC,TR || του πατρος P$^{66,75}$אB,C,W (9.8%) NU || long omissions (0.7%) [homoioteleuton]

[16] υμων **f**$^{35}$ אC(D)N (98.2%) CP,HF,RP,OC,TR || ημων (0.4%) || μου (0.2%) || --- P$^{66,75}$B,W (0.6%) NU || long omissions (0.7%) [homoioteleuton]

[17] ειπον **f**$^{35}$ W [99%] CP,HF,RP,OC,TR || ειπαν P$^{66,75}$אB,C,D,N [1%] NU

[18] ητε **f**$^{35}$ C,N,W [99%] CP,HF,RP,OC,TR || εστε P$^{66,75}$אB,D [1%] NU

[19] εποιειτε **f**$^{35}$ P$^{75}$אD,W [50%] CP,HF,RP,OC,NU || 1 αν C,N [50%] TR || ποιειτε P$^{66}$B [0.5%]

[20] ουν **f**$^{35}$ P$^{66,75}$C,D,N [99%] CP,HF,RP,OC,TR[NU] || --- אB,W [1%]

[21] ουν **f**$^{35}$ אD [70%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$B,C,N,W [30%] NU

ὁ Ιησους: "Ει ὁ Θεος Πατηρ ὑμων ἦν, ηγαπατε αν εμε, εγω γαρ εκ του Θεου εξηλθον και
ἡκω· ουδε γαρ απ' εμαυτου εληλυθα, αλλ' εκεινος με απεστειλεν. 43 Δια τί την λαλιαν την
εμην ου γινωσκετε?—ὁτι ου δυνασθε ακουειν τον λογον τον εμον. 44 Ὑμεις εκ του[1] πατρος
του διαβολου εστε, και τας επιθυμιας του πατρος ὑμων θελετε ποιειν. Εκεινος ανθρωποκ-
τονος ἦν απ' αρχης και εν τη αληθεια ουχ[2] ἑστηκεν, ὁτι ουκ εστιν αληθεια εν αυτω. Ὁταν
λαλη[3] το ψευδος, εκ των ιδιων λαλει, ὁτι ψευστης εστιν και ὁ πατηρ αυτου. 45 Εγω δε
ὁτι την αληθειαν λεγω, ου πιστευετε μοι. 46 Τίς εξ ὑμων ελεγχει με περι ἁμαρτιας? Ει
δε[4] αληθειαν λεγω, δια τί ὑμεις ου πιστευετε μοι? 47 Ὁ ων εκ του Θεου τα ῥηματα του
Θεου ακουει· δια τουτο ὑμεις ουκ ακουετε, ὁτι εκ του Θεου ουκ εστε."

48 Απεκριθησαν ουν[5] οἱ Ιουδαιοι και ειπον αυτω, "Ου καλως λεγομεν ἡμεις ὁτι
Σαμαρειτης[6] εἶ συ και δαιμονιον εχεις?" 49 Απεκριθη Ιησους: "Εγω δαιμονιον ουκ εχω·
αλλα τιμω τον Πατερα μου, και ὑμεις ατιμαζετε με. 50 Εγω δε ου ζητω την δοξαν μου·
εστιν ὁ ζητων και κρινων. 51 Αμην αμην λεγω ὑμιν, εαν τις τον λογον τον εμον[7] τηρηση
θανατον ου μη θεωρηση, εις τον αιωνα."

["Before Abraham was, I AM"]

52 Ειπον ουν[8] αυτω οἱ Ιουδαιοι: "Νυν εγνωκαμεν ὁτι δαιμονιον εχεις! Ἀβρααμ
απεθανεν και οἱ προφηται, και συ λεγεις, 'Εαν τις τον λογον μου τηρηση ου μη γευσηται
θανατου[9] εις τον αιωνα'! 53 Μη συ μειζων εἶ του πατρος ἡμων Ἀβρααμ, ὁστις απεθανεν?
Και οἱ προφηται απεθανον. Τινα σεαυτον συ[10] ποιεις?" 54 Απεκριθη Ιησους: "Εαν εγω
δοξαζω[11] εμαυτον, ἡ δοξα μου ουδεν εστιν. Εστιν ὁ Πατηρ μου ὁ δοξαζων με, ὃν ὑμεις
λεγετε ὁτι 'Θεος ἡμων[12] εστιν'. 55 Και ουκ εγνωκατε αυτον, εγω δε οιδα αυτον. Και εαν[13]
ειπω ὁτι ουκ οιδα αυτον, εσομαι ὁμοιος ὑμων,[14] ψευστης, αλλ' οιδα αυτον και τον λογον
αυτου τηρω. 56 Ἀβρααμ ὁ πατηρ ὑμων ηγαλλιασατο ἱνα ιδη την ἡμεραν την εμην· και,
ειδεν και εχαρη."

57 Ειπον ουν οἱ Ιουδαιοι προς αυτον, "Πεντηκοντα ετη ουπω εχεις, και Ἀβρααμ
ἑωρακας?" 58 Ειπεν[15] αυτοις ὁ[16] Ιησους, "Αμην, αμην λεγω ὑμιν, πριν Ἀβρααμ γενεσθαι,
εγω ειμι!" 59 Ηραν ουν λιθους ἱνα βαλωσιν επ' αυτον· Ιησους δε εκρυβη και εξηλθεν εκ
του ἱερου, διελθων δια μεσου αυτων· και παρηγεν οὑτως![17]

*[The man born blind]*

**9**.1 Και παραγων ειδεν ανθρωπον τυφλον εκ γενετης.[18] 2 Και ηρωτησαν αυτον οἱ
μαθηται αυτου λεγοντες, "'Ραββι, τίς ἡμαρτεν, οὑτος ἡ οἱ γονεις αυτου, ἱνα τυφλος

---

[1] του *rell* || --- [20%] TR

[2] ουχ **f[35]** P[75]C [90%] CP,HF,RP,OC,TR || ουκ P[66]אB(D)N,W [10%] NU [In consequence, NU has the Imperfect of the verb, rather than the Perfect, and this choice is reflected in many translations.]

[3] λαλη *rell* || λαλει N [20%]

[4] δε **f[35]** [95%] CP,HF,RP,OC,TR || --- P[66,75]אB,C,N,W [5%] NU || D omits verse 46

[5] ουν **f[35]** [95%] CP,HF,RP,OC,TR || --- P[66,75]אB,C,D,N,W [5%] NU

[6] σαμαρειτης **f[35]** P[75]B,C,D [99%] CP,HF,RP,OC,TR || σαμαριτης P[66]אN,W [1%] NU

[7] τον λογον τον εμον **f[35]** P[66]N [99%] CP,HF,RP,OC,TR || ~ 142 P[75]אB,C,D,W [1%] NU

[8] ουν **f[35]** P[75]D,N [99%] CP,HF,RP,OC,TR[NU] || --- P[66]אB,C,W [1%]

[9] ου μη γευσηται (γευσητε [5%]) θανατου **f[35]** P[66,75]A,C,D,N,W [85%] CP,HF,RP,OC,NU || 12 γευσεται 4 [15%] TR || 123 א || ~ θανατον 12 θεωρηση B

[10] συ **f[35]** [75%] CP,HF,RP,OC,TR || --- P[66,75]אA,B,C,D,N,W [25%] NU

[11] δοξαζω **f[35]** P[66]A,N [95%] CP,HF,RP,OC,TR || δοξασω P[75]אB,C,D,W [5%] NU

[12] ημων **f[35]** P[66,75]A,C,N,W [70%] HF,RP,NU || υμων אB,D [30%] CP,OC,TR

[13] και εαν **f[35]** P[66]A,C,N [99.5%] CP,HF,RP,OC,TR || καν P[75]אB,D,W [0.5%] NU

[14] ομοιος υμων **f[35]** אC,N (93.3%) CP,HF,RP,OC,TR || ομοιως 2 (1.5%) || ~ 21 P[66] (0.8%) || 1 υμιν P[75]A,B(D)W (3.5%) NU || three other variants (0.2%) || long omissions (0.6%) [homoioteleuton]

[15] ειπεν *rell* || 1 ουν D,N [20%]

[16] ο **f[35]** P[66]אA,D,N,W [99.5%] CP,HF,RP,OC,TR || --- P[75]B,C [0.5%] NU

[17] (+ και N 3%) διελθων (- δ. 1%) δια μεσου αυτων (+ επορευετο C,N 2.4%) και (- κ. 1.3%) παρηγεν ουτως (- ο. 1%) **f[35]** A(C)(N) (99%) CP,HF,RP,OC,TR || --- P[66,75]אB,D,W (1%) NU

[18] γενετης *rell* || γεννετης [5%] || γεννητης [15%] || γενητης N [5%] || γεννητοις [10%]

γεννηθη?” 3 Απεκριθη[1] Ιησους: “Ουτε οὑτος ἡμαρτεν ουτε οἱ γονεις αυτου, αλλ’ ἱνα φανε-
ρωθη τα εργα του Θεου εν αυτω. 4 Εμε[2] δει εργαζεσθαι τα εργα του πεμψαντος με ἑως
ἡμερα εστιν· ερχεται νυξ ὁτε ουδεις δυναται εργαζεσθαι. 5 Ὁταν εν τω κοσμω ω, φως ειμι
του κοσμου.”

[The man is healed]

6 Ταυτα ειπων, επτυσεν χαμαι και εποιησεν πηλον εκ του πτυσματος, και επεχρισεν[3]
τον πηλον επι τους οφθαλμους του τυφλου.[4] 7 Και ειπεν αυτω, “‘Ὑπαγε, νιψαι εις την
κολυμβηθραν του Σιλωαμ” (ὃ ἑρμηνευεται, Απεσταλμενος). Απηλθεν ουν και ενιψατο, και
ηλθεν βλεπων.

8 Οἱ ουν γειτονες και οἱ θεωρουντες αυτον το προτερον ὁτι τυφλος[5] ἦν ελεγον,
“Ουχ οὑτος εστιν ὁ καθημενος και προσαιτων?” 9 Αλλοι ελεγον ὁτι “Οὑτος εστιν”· αλλοι
δε ὁτι[6] “‘Ὁμοιος[7] αυτω εστιν”. Εκεινος ελεγεν ὁτι “Εγω ειμι!”

10 Ελεγον ουν αυτω, “Πως[8] ανεωχθησαν[9] σου[10] οἱ οφθαλμοι?” 11 Απεκριθη εκεινος
και ειπεν: “Ανθρωπος[11] λεγομενος Ιησους πηλον εποιησεν και επεχρισεν μου τους οφθαλμους
και ειπεν μοι,[12] ‘Ὑπαγε εις την κολυμβηθραν του[13] Σιλωαμ και νιψαι’. Απελθων δε[14] και
νιψαμενος, ανεβλεψα!” 12 Ειπον ουν[15] αυτω, “Που εστιν εκεινος?” Λεγει, “Ουκ οιδα”.

[The man is excommunicated]

13 Αγουσιν αυτον προς τους Φαρισαιους τον ποτε τυφλον. 14 (Ἠν δε σαββατον
ὁτε[16] τον πηλον εποιησεν ὁ Ιησους και ανεωξεν αυτου τους οφθαλμους.) 15 Παλιν ουν
ηρωτων αυτον και οἱ Φαρισαιοι πως ανεβλεψεν. Ὁ δε ειπεν αυτοις, “Πηλον επεθηκεν μου
επι τους οφθαλμους,[17] και ενιψαμην, και βλεπω”. 16 Ελεγον ουν εκ των Φαρισαιων τινες,
“Οὑτος ὁ ανθρωπος ουκ εστιν παρα του Θεου,[18] ὁτι το σαββατον ου τηρει”. Αλλοι[19] ελεγον,
“Πως δυναται ανθρωπος ἁμαρτωλος τοιαυτα σημεια ποιειν?” Και σχισμα ἦν εν αυτοις.
17 Λεγουσιν ουν[20] τω τυφλω παλιν, “Συ τί[21] λεγεις περι αυτου, ὁτι ηνοιξεν[22] σου τους
οφθαλμους?” Ὁ δε ειπεν ὁτι “Προφητης εστιν”.

---

[1] απεκριθη *rell* || 1 ο D,N [15%] TR

[2] εμε **f**$^{35}$ A,C,N (99.3%) CP,HF,RP,OC,TR || ημας P$^{66,75}$ℵB(D)(W) (0.5%) NU || long omission (0.2%) [homoioteleuton]

[3] επεχρισεν **f**$^{35}$ W [97%] CP,HF,RP,OC,TR || 1 αυτου P$^{66(75)}$ℵ(A)(D)N [2%] NU || επεθηκεν C [1%] || επεθηκεν αυτου B

[4] του τυφλου **f**$^{35}$ A,C,W [98%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB [2%] NU || αυτου D,N

[5] τυφλος **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || προσαιτης P$^{66,75}$ℵA,B,C,D,N,W [10%] NU

[6] δε οτι **f**$^{35}$ A,D [98%] CP,HF,RP,OC,TR || 1 ℵ [1%] || --- P$^{66,75}$B,C,W [1%] NU || 2 N

[7] ομοιος **f**$^{35}$ A,D,N [98%] CP,HF,RP,OC,TR || ελεγον ουχι αλλα 1 P$^{66}$ℵC,W [0.5%] NU || ελεγον ουχι αλλ 1 P$^{75}$B [0.5%] || ουχι αλλ 1 [1%]

[8] πως **f**$^{35}$ P$^{75}$A,B,W [99%] CP,HF,RP,OC,TR || 1 ουν P$^{66}$ℵC,D,N [1%] [NU]

[9] ανεωχθησαν **f**$^{35}$ A [75%] CP,HF,RP,OC,TR || ηνεωχθησαν P$^{66,75}$ℵB,C,D,N,W [25%] NU

[10] σου *rell* || σοι [15%] some TRs || --- P$^{66}$

[11] και ειπεν ανθρωπος **f**$^{35}$ A,N [98%] CP,HF,RP,OC,TR || ο 3 ο P$^{66}$ℵB [1.5%] NU || 3 ο P$^{75}$C [0.5%] || 3 D,W

[12] μοι **f**$^{35}$ P$^{75}$A,D,N,W [99.5%] CP,HF,RP,OC,TR || 1 οτι P$^{66}$ℵB [0.5%] NU

[13] την κολυμβηθραν του **f**$^{35}$ A,N (97.6%) CP,HF,RP,OC,TR || τον P$^{66,75}$ℵB,D,W (2.1%) NU || --- (0.4%)

[14] δε **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || ουν P$^{66,75}$ℵB,D,N,W [3%] NU

[15] ειπον ουν **f**$^{35}$ N [97.5%] CP,HF,RP,OC,TR || ειπαν 2 P$^{66}$D || 1 A || ~ και 1 P$^{75}$ [2%] || ~ και ειπαν ℵB,W [alone] NU

[16] οτε **f**$^{35}$ A,D,N (99.1%) CP,HF,RP,OC,TR || εν η ημερα P$^{66,75}$ℵB,W (0.9%) NU

[17] επεθηκεν μου (μοι N CP) επι τους οφθαλμους **f**$^{35}$ P$^{66,75}$ℵB(N) [95%] (CP)HF,RP,OC,NU || ~ 13452 D [5%] TR || ~ 21345 A

[18] ουτος ο ανθρωπος ουκ εστιν παρα του (-τ. A) θεου **f**$^{35}$ (A) [95%] CP,HF,RP,OC,TR || ~ 4516823 P$^{66,75}$ℵB,D,N,W [5%] NU

[19] αλλοι **f**$^{35}$ P$^{66,75}$A,N [97%] CP,HF,RP,OC,TR || 1 δε ℵB,D,W [3%] [NU]

[20] ουν **f**$^{35}$ P$^{66,75}$ℵA,B(D)N,W [30%] CP,NU || --- [70%] HF,RP,OC,TR

[21] συ τι **f**$^{35}$ P$^{75}$A,D,N,W [99.5%] CP,HF,RP,OC,TR || ~ 21 ℵB [0.5%] NU || --- P$^{66}$

[22] ηνοιξεν **f**$^{35}$ P$^{66}$ℵA [88%] CP,HF,RP,OC,TR || ηνεωξεν P$^{75}$B,W [2%] NU || ανεωζεν [10%] || ηνυζεν D || ανεωξεν N

18 Ουκ επιστευσαν ουν οἱ Ιουδαιοι περι αυτου, ὁτι τυφλος ἦν[1] και ανεβλεψεν, ἑως
ὁτου εφωνησαν τους γονεις αυτου του αναβλεψαντος. 19 Και ηρωτησαν αυτους λεγοντες:
“Οὑτος εστιν ὁ υἱος ὑμων, ὃν ὑμεις λεγετε ὁτι τυφλος εγεννηθη? Πως ουν αρτι βλεπει?”[2]
20 Απεκριθησαν δε[3] αυτοις[4] οἱ γονεις αυτου και ειπον: “Οιδαμεν ὁτι οὑτος εστιν ὁ υἱος
ἡμων, και ὁτι τυφλος εγεννηθη. 21 Πως δε νυν βλεπει ουκ οιδαμεν, ἢ τίς ηνοιξεν αυτου
τους οφθαλμους ἡμεις ουκ οιδαμεν. Αυτος ἡλικιαν εχει, αυτον ερωτησατε.[5] Αυτος περι
ἑαυτου[6] λαλησει.” 22 Ταυτα ειπον[7] οἱ γονεις αυτου ὁτι εφοβουντο τους Ιουδαιους, ηδη γαρ
συνετεθειντο οἱ Ιουδαιοι ἱνα εαν τις αυτον ὁμολογηση Χριστον, αποσυναγωγος γενηται.
23 Δια τουτο οἱ γονεις αυτου ειπον[8] ὁτι “‘Ἡλικιαν εχει, αυτον ερωτησατε’.[9]

24 Εφωνησαν ουν εκ δευτερου τον ανθρωπον[10] ὃς ἦν τυφλος και ειπον[11] αυτω: “Δος
δοξαν τω Θεω! Ἡμεις οιδαμεν ὁτι ὁ ανθρωπος οὑτος[12] ἁμαρτωλος εστιν.” 25 Απεκριθη
ουν[13] εκεινος και ειπεν:[14] “Ει ἁμαρτωλος εστιν, ουκ οιδα. Ἑν οιδα, ὁτι τυφλος ων, αρτι
βλεπω!” 26 Ειπον δε[15] αυτω παλιν:[16] “Τί εποιησεν σοι? Πως ανεωξεν[17] σου τους οφθαλμους?”
27 Απεκριθη αυτοις: “Ειπον ὑμιν ηδη, και ουκ ηκουσατε. Τί παλιν θελετε ακουειν? Μη
και ὑμεις θελετε αυτου μαθηται[18] γενεσθαι?” 28 Ελοιδορησαν[19] αυτον και ειπον: “Συ εἶ
μαθητης εκεινου,[20] ἡμεις δε του Μωσεως[21] εσμεν μαθηται. 29 Ἡμεις οιδαμεν ὁτι Μωσει[22]
λελαληκεν ὁ Θεος· τουτον δε—ουκ οιδαμεν ποθεν εστιν.” 30 Απεκριθη ὁ ανθρωπος και
ειπεν αυτοις: “Εν γαρ τουτω[23] θαυμαστον εστιν—ὁτι ὑμεις ουκ οιδατε ποθεν εστιν, και
ανεωξεν[24] μου τους οφθαλμους! 31 Οιδαμεν δε[25] ὁτι ἁμαρτωλων ὁ Θεος ουκ ακουει· αλλ’ εαν
τις θεοσεβης ᾖ και το θελημα αυτου ποιη,[26] τουτου ακουει. 32 Εκ του αιωνος ουκ ηκουσθη
ὁτι ηνοιξεν[27] τις οφθαλμους τυφλου γεγεννημενου. 33 Ει μη ἦν οὑτος παρα Θεου ουκ
ηδυνατο ποιειν ουδεν.” 34 Απεκριθησαν και ειπον[28] αυτω, “Εν ἁμαρτιαις συ εγεννηθης
ὁλως,[29] και συ διδασκεις ἡμας?” Και εξεβαλον αυτον εξω.

---

[1] τυφλος ην **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || ~ 21 $P^{66,75}$ℵB,N,W [1%] NU || --- D
[2] αρτι βλεπει **f**$^{35}$ $P^{66}$A(N) (98.6%) CP,HF,RP,OC,TR || ~ 21 $P^{75}$ℵB,D,W (1%) NU || five other variants (0.4%)
[3] δε **f**$^{35}$ A,N [85%] CP,HF,RP,OC || ουν $P^{66,75}$ℵB [5%] NU || --- D,W [10%] TR
[4] αυτοις **f**$^{35}$ A,D,N [95%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,W [5%] NU
[5] αυτος ηλικιαν εχει αυτον ερωτησατε **f**$^{35}$ A(N) [98%] CP,HF,RP,OC,TR || 123 $P^{75}$ℵ || ~ 4523 $P^{66}$B(D) [2%] NU || 23 W
[6] εαυτου *rell* || αυτου D [20%] TR
[7] ειπον *rell* || ειπαν ℵ [alone] NU
[8] ειπον **f**$^{35}$ $P^{66}$A,N,W [98.5%] CP,HF,RP,OC,TR || ειπαν $P^{75}$ℵB,D [0.5%] NU || --- [1%]
[9] ερωτησατε **f**$^{35}$ A [99.5%] CP,HF,RP,OC,TR || επερωτησατε $P^{66,75}$ℵB,W [0.5%] NU || ερωτατε D || ερωτησαται N
[10] εκ δευτερου τον ανθρωπον **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || ~ 3412 $P^{66,75}$ℵB,W [1%] NU || ~ αυτον 12 D
[11] ειπον **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || ειπαν $P^{66,75}$ℵB,D,N,W [1%] NU
[12] ο ανθρωπος ουτος **f**$^{35}$ A,D,N [99.5%] CP,HF,RP,OC,TR || ~ 312 $P^{66,75}$(ℵ)B,W [0.5%] NU
[13] ουν *rell* || --- [15%]
[14] και ειπεν **f**$^{35}$ N [98%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵA,B,D,W [2%] NU
[15] δε **f**$^{35}$ A [95%] CP,HF,RP,OC,TR || ουν $P^{66,75}$B,D,N,W [5%] NU || --- ℵ
[16] παλιν **f**$^{35}$ $P^{66}$A [99.5%] CP,HF,RP,OC,TR || --- $P^{75}$ℵB,D,W [0.5%] NU
[17] ανεωξεν **f**$^{35}$ [30%] CP || ηνεωξεν $P^{66v,75}$N,W [2%] || ηνοιξεν A,B [63%] HF,RP,OC,TR,NU || ηνυξεν ℵD [5%]
[18] αυτου μαθηται *rell* || ~ 21 $P^{66}$ℵD [30%]
[19] ελοιδορησαν **f**$^{35}$ $P^{66}$A [92%] CP,HF,RP,OC || και 1 $P^{75}$ℵB,W [0.5%] NU || 1 ουν [5%] TR || οι δε 1 D,N [2.5%]
[20] ει μαθητης εκεινου **f**$^{35}$ [98%] CP,HF,RP,OC,TR || ~ 213 $P^{75}$ℵA,B(N)W [1.5%] NU || ~ 231 $P^{66}$D [0.5%]
[21] μωσεως **f**$^{35}$ A,B,N [98%] CP,HF,RP,TR || μωυσεως $P^{75}$ℵD,W [2%] OC,NU
[22] μωσει **f**$^{35}$ A,N [50%] CP,HF || μωση [48%] RP,TR || μωυσει $P^{66,75}$ℵB,D,W [1%] OC,NU || μωυση [1%]
[23] γαρ τουτω **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || ~ 21 το $P^{(66)75}$ℵB,N,W [1%] NU || 1 τουτο [2%] || ~ 2 ουν D
[24] ανεωξεν **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || ηνοιξεν $P^{66,75}$ℵB,D [0.5%] NU || ηνεωξεν N,W [0.5%]
[25] δε **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵB,D [2%] NU
[26] ποιη *rell* || ποιει [15%]
[27] ηνοιξεν **f**$^{35}$ $P^{66}$ℵA [98%] CP,HF,RP,OC,TR || ηνεωξεν B,N,W [0.5%] NU || ανεωξεν $P^{75}$ [1.5%] || ηνυξε D
[28] ειπον **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || ειπαν $P^{66,75}$ℵB(D)W [1%] NU
[29] ολως **f**$^{35}$ [25%] || ολος $P^{75}$ℵA,B,D,W [75%] CP,HF,RP,OC,TR,NU || ο λογος $P^{66}$

35 Ηκουσεν ὁ Ιησους ὁτι εξεβαλον αυτον εξω·[1] και εὑρων αυτον, ειπεν αυτω,[2] "Συ
πιστευεις εις τον Υἱον του Θεου?"[3] 36 Απεκριθη εκεινος και ειπεν, "Και τίς εστιν, Κυριε,[4]
ἱνα πιστευσω εις αυτον?" 37 Ειπεν δε[5] αυτω ὁ Ιησους, "Και ἑωρακας[6] αυτον και ὁ λαλων
μετα σου εκεινος εστιν." 38 Ὁ δε εφη, "Πιστευω, Κυριε!" Και προσεκυνησεν αυτω. 39 Και
ειπεν ὁ Ιησους, "Εις κριμα εγω εις τον κοσμον τουτον ηλθον, ἱνα οἱ μη βλεποντες βλεπωσιν,
και οἱ βλεποντες τυφλοι γενωνται."

40 Και[7] ηκουσαν εκ των Φαρισαιων ταυτα οἱ οντες μετ' αυτου[8] και ειπον αυτω,
"Μη και ἡμεις[9] τυφλοι εσμεν?" 41 Ειπεν αυτοις ὁ Ιησους: "Ει τυφλοι ητε ουκ αν ειχετε
ἁμαρτιαν· νυν δε λεγετε ὁτι 'Βλεπομεν', ἡ ουν[10] ἁμαρτια ὑμων μένει.

*[Jesus the Shepherd]*

[A true shepherd]

**10**.1 "Αμην, αμην λεγω ὑμιν, ὁ μη εισερχομενος δια της θυρας εις την αυλην των
προβατων, αλλα αναβαινων αλλαχοθεν, εκεινος κλεπτης εστιν και ληστης. 2 Ὁ δε εισερ-
χομενος δια της θυρας ποιμην εστιν των προβατων. 3 Τουτω ὁ θυρωρος ανοιγει, και τα
προβατα της φωνης αυτου ακουει· και τα ιδια προβατα καλει[11] κατ' ονομα και εξαγει αυτα.
4 Και[12] ὁταν τα ιδια προβατα εκβαλλη,[13] εμπροσθεν αυτων πορευεται, και τα προβατα αυτω
ακολουθει, ὁτι οιδασιν την φωνην αυτου. 5 Αλλοτριω δε ου μη ακολουθησωσιν,[14] αλλα
φευξονται απ' αυτου, ὁτι ουκ οιδασιν των αλλοτριων την φωνην." 6 Ταυτην την παροιμιαν
ειπεν αυτοις ὁ Ιησους, εκεινοι δε ουκ εγνωσαν τινα ἠν ἁ ελαλει αυτοις.

[The Door]

7 Ειπεν ουν παλιν αυτοις ὁ Ιησους:[15] "Αμην, αμην λεγω ὑμιν ὁτι[16] εγω ειμι ἡ θυρα
των προβατων. 8 Παντες ὁσοι ηλθον προ εμου[17] κλεπται εισιν και λησται, αλλ' ουκ ηκουσαν
αυτων τα προβατα. 9 Εγω ειμι ἡ θυρα. Δι' εμου εαν τις εισελθη, σωθησεται, και εισε-
λευσεται και εξελευσεται και νομην εὑρησει. 10 Ὁ κλεπτης ουκ ερχεται ει μη ἱνα κλεψη,
και θυση, και απολεση. Εγω ηλθον ἱνα ζωην εχωσιν, και περισσον εχωσιν.

[The Good Shepherd]

11 "Εγω ειμι ὁ ποιμην ὁ καλος. Ὁ ποιμην ὁ καλος την ψυχην αυτου τιθησιν ὑπερ
των προβατων. 12 Ὁ μισθωτος δε,[18] και ουκ[19] ων ποιμην, οὗ ουκ εισιν[20] τα προβατα ιδια,
θεωρει τον λυκον ερχομενον και αφιησιν τα προβατα, και φευγει· και ὁ λυκος ἁρπαζει

---

[1] ηκουσεν ο ιησους οτι εξεβαλον αυτον εξω **f**$^{35}$ P$^{66}$A,D,W (88.3%) CP,HF,RP,OC,TR || 134567 P$^{75}$אB (0.4%) NU || two other variations (0.2%) || --- (11%) [The omission is an obvious case of homoioteleuton—the last three words are identical.]

[2] αυτω **f**$^{35}$ P$^{66}$A (99.4%) CP,HF,RP,OC,TR || --- P$^{75}$אB,D,W (0.6%) NU

[3] θεου **f**$^{35}$ A (99.6%) CP,HF,RP,OC,TR || ανθρωπου P$^{66,75}$אB,D,W (0.4%) NU

[4] απεκριθη εκεινος και ειπεν και τις εστιν κυριε **f**$^{35}$ [97.5%] CP,HF,RP,OC,NU || 1234678 [2%] TR || 567 εφη 8 P$^{75}$B,W || 12678 A || ~ 1234867 א || 12567 εφη 8 P$^{66}$

[5] δε **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$(א)B(D)W [1%] NU

[6] εωρακας **f**$^{35}$ אA,D [80%] CP,HF,RP,OC,TR,NU || εορακας P$^{66,75}$B,W [20%] || two other spellings

[7] και **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$אB,W [1%] NU || ~ δε D || ~ ουν [1%]

[8] οντες μετ αυτου **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || ~ 231 P$^{66,75}$אB,D,W [3%] NU

[9] ημεις *rell* || υμεις CP

[10] η ουν **f**$^{35}$ A [95%] CP,HF,RP,OC,TR || 1 אB [3%] NU || και 1 P$^{75}$ || 1 αι P$^{66}$ || αι D,W [1%] || 121 [1%]

[11] καλει **f**$^{35}$ [98%] CP,HF,RP,OC,TR || φωνει P$^{66,75}$אA,B,D,W [2%] NU

[12] και **f**$^{35}$ A,D [95%] CP,HF,RP,OC,TR || ~ δε [3%] || --- P$^{66,75}$אB,W [2%] NU

[13] προβατα εκβαλλη **f**$^{35}$ [50%] || 1 εκβαλη A [45%] CP,HF,RP,OC,TR || 1 εκβαλει [3%] || παντα εκβαλη P$^{75}$B,W [2%] NU || εκβαλη παντα P$^{66}$ || εκβαλη א [All the verbs in verses 3 and 4 are in the present tense.]

[14] ακολουθησωσιν **f**$^{35}$ P$^{6v,66,75}$א,W [97%] CP,HF,RP,OC,TR || ακολουθησουσιν A,B,D [3%] NU

[15] παλιν αυτοις ο ιησους **f**$^{35}$ D (84.4%) CP,HF,RP,OC,TR || ~ 2134 אA (9.2%) || ~ 2341 (1.6%) || 234 P$^{45,66}$W (3%) || 134 P$^{75}$ (0.5%) NU || 12 (0.5%) || 14 B (alone) || --- (0.2%) || long omissions (0.4%) [homoioteleuton]

[16] οτι **f**$^{35}$ P$^{66}$אA,D,W (73.2%) CP,HF,RP,OC,TR,NU || --- P$^{75}$B (26.8%)

[17] ηλθον προ εμου **f**$^{35}$ P$^{66}$A,B,D,W [45%] OC[NU] || ~ 231 [5%] TR || 1 P$^{75}$א [50%] CP,HF,RP

[18] μισθωτος δε **f**$^{35}$ A [95%] CP,HF,RP,OC,TR || ~ 21 P$^{66}$אD [3%] || 1 P$^{45,75}$B,W [2%] NU

[19] ουκ *rell* || ουχ CP

[20] εισιν **f**$^{35}$ D [95%] CP,HF,RP,OC,TR || εστιν P$^{45,66,75}$אA,B,W [5%] NU

αυτα και σκορπιζει τα προβατα.[1] 13 Ὁ δε μισθωτος φευγει[2] ὅτι μισθωτος εστιν και ου μελει[3] αυτω περι των προβατων.

14 "Ἐγω ειμι ὁ ποιμην ὁ καλος, και γινωσκω τα εμα, και γινωσκομαι ὑπο των εμων.[4] 15 Καθως γινωσκει με ὁ Πατηρ, καγω γινωσκω τον Πατερα, και την ψυχην μου τιθημι ὑπερ των προβατων. 16 Και αλλα προβατα εχω ἃ ουκ εστιν εκ της αυλης ταυτης· κακεινα με δει[5] αγαγειν, και της φωνης μου ακουσουσιν·[6] και γενησεται[7] μια ποιμνη, εἷς ποιμην.

17 "Δια τουτο ὁ Πατηρ με[8] αγαπα, ὅτι εγω τιθημι την ψυχην μου ἵνα παλιν λαβω αυτην. 18 Ουδεις αιρει αυτην απ' εμου, αλλ' εγω τιθημι αυτην απ' εμαυτου. Εξουσιαν εχω θειναι[9] αυτην, και εξουσιαν εχω παλιν λαβειν αυτην. Ταυτην την εντολην ελαβον παρα του Πατρος μου."

19 Σχισμα ουν[10] παλιν εγενετο εν τοις Ιουδαιοις δια τους λογους τουτους. 20 Ελεγον δε πολλοι εξ αυτων: "Δαιμονιον εχει και μαινεται. Τί αυτου ακουετε?" 21 Αλλοι ελεγον: "Ταυτα τα ῥηματα ουκ εστιν δαιμονιζομενου. Μη δαιμονιον δυναται τυφλων οφθαλμους ανοιγειν?"[11]

["My sheep hear my voice"]

22 Εγενετο δε[12] τα Εγκαινια εν[13] Ἱεροσολυμοις, και χειμων[14] ἦν. 23 Και περιεπατει ὁ Ιησους εν τω ἱερω, εν τη Στοα[15] Σολομωνος.[16] 24 Εκυκλωσαν ουν αυτον οἱ Ιουδαιοι και ελεγον αυτω: "Ἕως ποτε την ψυχην ἡμων αιρεις? Ει συ εἶ ὁ Χριστος, ειπε ἡμιν παρρησια." 25 Απεκριθη αυτοις ὁ Ιησους: "Ειπον ὑμιν, και ου πιστευετε. Τα εργα ἃ εγω ποιω εν τω ονοματι του Πατρος μου—ταυτα μαρτυρει περι εμου. 26 Αλλ'[17] ὑμεις ου πιστευετε, ου γαρ[18] εστε εκ των προβατων των εμων, καθως ειπον ὑμιν.[19] 27 Τα προβατα τα εμα της φωνης μου ακουει,[20] καγω γινωσκω αυτα, και ακολουθουσιν μοι. 28 Καγω ζωην αιωνιον διδωμι αυτοις,[21] και ου μη απολωνται εις τον αιωνα· και ουχ ἁρπασει τις αυτα εκ της χειρος μου. 29 Ὁ Πατηρ μου, ὃς[22] δεδωκεν μοι, μειζων παντων[23] εστιν· και ουδεις δυναται ἁρπαζειν εκ της χειρος του Πατρος μου.[24] 30 Εγω και ὁ Πατηρ ἓν εσμεν!"

---

[1] τα προβατα **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || --- P$^{45,66,75}$ℵB,D,W [3%] NU

[2] ο δε μισθωτος φευγει **f**$^{35}$ (A) [97%] CP,HF,RP,OC,TR || --- P$^{45,66,75}$ℵB,D,W [3%] NU

[3] μελει *rell* || μελλει [30%]

[4] γινωσκομαι υπο των εμων **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || γινωσκουσιν με τα εμα P$^{(45)66(75)}$(ℵB)W [1%] NU || γεινωσιν εμε τα εμα D

[5] με δει **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || ~ 21 P$^{45,66,75}$ℵB,D,W [3%] NU

[6] ακουσουσιν **f**$^{35}$ P$^{66,75}$B,D (60.9%) CP,HF,RP,OC,TR,NU || ακουσωσιν ℵA,W (38.1%) || ακουουσιν (0.5%) || ακουσονται (0.2%) || four other variants (0.3%)

[7] γενησεται **f**$^{35}$ P$^{66}$ℵA (97.9%) CP,HF,RP,OC,TR || γενησονται P$^{45}$B,D,W (1.9%) NU || two other variants (0.2%)

[8] ο πατηρ με **f**$^{35}$ A,W [99%] CP,HF,RP,OC,TR || ~ 312 P$^{66,75}$ℵB,D [1%] NU

[9] θειναι *rell* || θηναι [10%]

[10] ουν **f**$^{35}$ P$^{66}$A(D) (98.7%) CP,HF,RP,OC,TR || --- P$^{75}$ℵB,W (1.3%) NU

[11] ανοιγειν **f**$^{35}$ A(D) [97%] CP,HF,RP,OC,TR || ανοιξαι P$^{66}$ℵB,W [3%] NU

[12] δε **f**$^{35}$ P$^{66}$ℵA(D) [98%] CP,HF,RP,OC,TR || τοτε P$^{75}$B,W [1%] NU || --- [1%]

[13] εν **f**$^{35}$ P$^{45}$ℵD [90%] CP,HF,RP || 1 τοις P$^{66}$A,B,W [10%] OC,TR,NU

[14] και χειμων **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || 2 P$^{66,75}$ℵB,D,W [3%] NU || 2 δε P$^{45}$

[15] στοα **f**$^{35}$ ℵA,D [85%] CP,HF,RP || 1 του P$^{66,75}$B,W [15%] OC,TR,NU

[16] σολομωνος **f**$^{35}$ P$^{45,66}$ℵB,D [80%] CP,HF,RP,OC,NU || σολομωντος A,W [20%] TR

[17] αλλ **f**$^{35}$ D [95%] CP,HF,RP,OC,TR || αλλα P$^{66,75}$ℵA,B,W [5%] NU

[18] ου γαρ **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || οτι ουκ P$^{66,75}$ℵB,D,W [3%] NU

[19] καθως ειπον υμιν **f**$^{35}$ P$^{66}$A,D (95.4%) CP,HF,RP,OC,TR || --- P$^{75}$ℵB,W (4.6%) NU

[20] ακουει **f**$^{35}$ P$^{75}$A,D [97%] CP,HF,RP,OC,TR || ακουουσιν P$^{66}$ℵB,W [3%] NU

[21] ζωην αιωνιον διδωμι αυτοις **f**$^{35}$ P$^{66}$A,D (98.4%) CP,HF,RP,OC,TR || ~ 3412 P$^{75}$ℵB,W (1.6%) NU

[22] ος **f**$^{35}$ P$^{66,75}$A (97.6%) CP,HF,RP,OC,TR || ο ℵB,D,W (0.7%) NU || ους (1.1%) || ως (0.3%) || long omissions (0.4%) (P$^{66,75}$ 4.8% have εδωκεν.)

[23] μειζων παντων **f**$^{35}$ (P$^{66}$) (98%) CP,HF,RP,OC,TR || ~ 21 ℵD,W (0.8%) || μειζον 2 A (0.5%) || ~ 2 μειζον B (0.4%) NU || long omissions (0.3%) (P$^{75}$ joins ~ 21, but the crucial vowel is missing.)

[24] μου **f**$^{35}$ A,D,W (99.1%) CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB (0.9%) NU

31 Εβαστασαν ουν[1] παλιν λιθους οἱ Ιουδαιοι ἱνα λιθασωσιν αυτον. 32 Απεκριθη
αυτοις ὁ Ιησους: "Πολλα καλα εργα εδειξα ὑμιν[2] εκ του Πατρος μου.[3] Δια ποιον αυτων
εργον λιθαζετε με?"[4] 33 Απεκριθησαν αυτω οἱ Ιουδαιοι λεγοντες,[5] "Περι καλου εργου ου
λιθαζομεν σε, αλλα περι βλασφημιας· και ὁτι συ, ανθρωπος ων, ποιεις σεαυτον Θεον!"
34 Απεκριθη αυτοις ὁ Ιησους:[6] "Ουκ εστιν γεγραμμενον εν τω νομω ὑμων,[7] 'Εγω ειπα,[8]
θεοι εστε'? 35 Ει εκεινους ειπεν θεους, προς οὓς ὁ λογος του Θεου εγενετο—και ου δυναται
λυθηναι ἡ Γραφη—36 ὃν ὁ Πατηρ ἡγιασεν και απεστειλεν εις τον κοσμον, ὑμεις λεγετε ὁτι
'Βλασφημεις', ὁτι ειπον, 'Υἱος του Θεου ειμι'? 37 Ει ου ποιω τα εργα του Πατρος μου, μη
πιστευετε μοι. 38 Ει δε ποιω, καν εμοι μη πιστευητε,[9] τοις εργοις πιστευσατε,[10] ἱνα γνωτε
και πιστευσητε[11] ὁτι εν εμοι ὁ Πατηρ, καγω εν αυτω."[12]
39 Εζητουν ουν[13] παλιν πιασαι αυτον,[14] και εξηλθεν εκ της χειρος αυτων.

## [The last three months]

**10**.40 Και απηλθεν παλιν[15] περαν του Ιορδανου, εις τον τοπον ὁπου ἠν Ιωαννης το πρωτον
βαπτιζων· και εμεινεν εκει. 41 Και πολλοι ηλθον προς αυτον και ελεγον ὁτι "Ιωαννης μεν
σημειον εποιησεν[16] ουδεν, παντα δε ὁσα ειπεν Ιωαννης περι τουτου αληθη ἠν". 42 Και
επιστευσαν πολλοι[17] εκει εις αυτον.[18]

## *[Lazarus of Bethany]*

**11**.1 Ἠν δε τις ασθενων, Λαζαρος απο Βηθανιας, εκ της κωμης Μαριας και Μαρθας
της αδελφης αυτης. 2 (Ἠν δε Μαρια[19] ἡ αλειψασα τον Κυριον μυρω και εκμαξασα τους
ποδας αυτου ταις θριξιν ἑαυτης,[20] ἡς ὁ αδελφος Λαζαρος ησθενει.) 3 Απεστειλαν ουν αἱ
αδελφαι προς αυτον λεγουσαι, "Κυριε, ιδε, ὃν φιλεις ασθενει!"

### [Jesus lets Lazarus die on purpose]

4 Ακουσας δε ὁ Ιησους ειπεν, "Αὑτη ἡ ασθενεια ουκ εστιν προς θανατον αλλ' ὑπερ
της δοξης του Θεου, ἱνα δοξασθη ὁ Υἱος του Θεου δι' αυτης." 5 (Ηγαπα δε ὁ Ιησους την
Μαρθαν και την αδελφην αυτης και τον Λαζαρον.) 6 Ὡς ουν ηκουσεν ὁτι ασθενει, τοτε
μεν εμεινεν εν ᾧ ἠν τοπω δυο ἡμερας. 7 Επειτα μετα τουτο λεγει τοις μαθηταις,[21] "Αγωμεν
εις την Ιουδαιαν παλιν."

---

[1] ουν $\mathbf{f}^{35}$ $P^{66}$A(D) (98.7%) CP,HF,RP,OC,TR || --- ($P^{45}$)אB,W (1.3%) NU

[2] καλα εργα εδειξα υμιν $\mathbf{f}^{35}$ $P^{66}$D (87.7%) CP,HF,RP,OC,TR || 234 W (0.8%) || 134 (1.3%) || ~ 2134 $P^{45v}$אA (9.7%) NU || ~ 2341 B (0.2%) || ~ 1342 (0.2%) || ~ 3421 $P^{75v}$ (alone)

[3] μου $\mathbf{f}^{35}$ $P^{66}$A,W (99.4%) CP,HF,RP,OC,TR || --- אB,D (0.4%) NU || long omissions (0.2%) (Both $P^{45 \& 75}$ have lacunae, but there is enough space for the pronoun.)

[4] λιθαζετε με $\mathbf{f}^{35}$ ($P^{66}$A,W)D (98.9%) CP,HF,RP,OC,TR || ~ εμε 1 $P^{45}$אB (1.1%) NU

[5] λεγοντες $\mathbf{f}^{35}$ D [90%] CP,HF,RP,OC,TR || --- $P^{45,66}$אA,B,W [10%] NU

[6] αυτοις ο ιησους $\mathbf{f}^{35}$ $P^{75}$אA [99.5%] CP,HF,RP,OC,TR[NU] || 13 $P^{45}$B,W || ~ 3 και ειπεν 1 $P^{66}$ || 123 και ειπεν D

[7] υμων $\mathbf{f}^{35}$ A [98.5%] CP,HF,RP,OC,TR || 1 οτι $P^{66,75}$B,W [1%] NU || οτι $P^{45}$(א)D [0.5%]

[8] ειπα $\mathbf{f}^{35}$ $P^{45,66,75}$אB,W [70%] CP,HF,RP,OC,TR,NU || ειπον A,D [30%]

[9] πιστευητε $\mathbf{f}^{35}$ $P^{45,75}$B [89%] CP,HF,RP,OC,TR,NU || πιστευετε A [10%] || πιστευεται אW [0.5%] || πιστευηται $P^{66}$ || θελετε πιστευειν D

[10] πιστευσατε $\mathbf{f}^{35}$ $P^{45}$A [95%] CP,HF,RP,OC,TR || πιστευσαται $P^{66}$ || πιστευετε $P^{75}$B [5%] NU || πιστευεται אD,W

[11] πιστευσητε $\mathbf{f}^{35}$ A (94.7%) CP,HF,RP,OC,TR || πιστευητε א (1.3%) || γινωσκητε $P^{45(66)75}$B (1.4%) NU || γινωσκετε (W) (0.4%) || --- D (0.4%) || long omissions (1.6%) [homoioteleuton]

[12] αυτω $\mathbf{f}^{35}$ $P^{45}$A [99%] CP,HF,RP,OC,TR || τω πατρι $P^{75}$אB,D,W [1%] NU || 1 πατρι $P^{66}$

[13] ουν $\mathbf{f}^{35}$ $P^{66}$אA,W [75%] CP,HF,RP,OC,TR[NU] || δε $P^{45}$ || --- $P^{75v}$B [25%] || ~ και D

[14] ουν παλιν πιασαι αυτον $\mathbf{f}^{35}$ (18.9%) OC || ~ 1243 $P^{66}$ (32.8%) CP,HF,RP,TR || ~ 1423 A,W (12%) NU || ~ 1432 (0.2%) || ~ 2143 (0.2%) || ~ 243 B (30.3%) || ~ 423 (3.4%) || ~ 143 ($P^{45}$)א (1.2%) || ~ 43 D (0.6%) || six further variants (0.4%)

[15] παλιν $\mathbf{f}^{35}$ $P^{45}$אA,B,D,W (89.5%) CP,HF,RP,OC,TR,NU || --- $P^{66}$ (10.5%)

[16] σημειον εποιησεν $\mathbf{f}^{35}$ $P^{45,66,75}$אA,B,D (88.4%) CP,HF,RP,OC,TR,NU || ~ 21 W (10.8%) || seven other variants (0.8%)

[17] επιστευσαν πολλοι $\mathbf{f}^{35}$ A [97%] CP,HF,RP,OC,TR || ~ 21 $P^{45,66,75}$אB,D(W) [3%] NU

[18] εκει εις αυτον $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,OC,TR || ~ 231 $P^{66,75}$אA,B,D,W [10%] NU || 23 $P^{45}$

[19] μαρια $\mathbf{f}^{35}$ $P^{66}$אA,D,W [99.5%] CP,HF,RP,OC,TR || μαριαμ B [0.5%] NU

[20] εαυτης $\mathbf{f}^{35}$ [40%] || αυτης $P^{45,66,75}$אA,B,D,W [60%] CP,HF,RP,OC,TR,NU

[21] μαθηταις *rell* || 1 αυτου A,D [20%] CP

8 Λεγουσιν αυτω οἱ μαθηται, "῾Ραββι,[1] νυν εζητουν σε λιθασαι οἱ Ιουδαιοι, και
παλιν ὑπαγεις εκει?" 9 Απεκριθη[2] Ιησους: "Ουχι δωδεκα ὡραι εισιν[3] της ἡμερας? Εαν τις
περιπατη εν τη ἡμερα ου προσκοπτει, ὁτι το φως του κοσμου τουτου βλεπει. 10 Εαν δε τις
περιπατη εν τη νυκτι προσκοπτει, ὁτι το φως ουκ εστιν εν αυτω."

11 Ταυτα ειπεν, και μετα τουτο λεγει αυτοις, "Λαζαρος ὁ φιλος ἡμων κεκοιμηται,
αλλα πορευομαι ἱνα εξυπνισω[4] αυτον". 12 Ειπον ουν οἱ μαθηται αυτου,[5] "Κυριε, ει κεκοι-
μηται σωθησεται". 13 Ειρηκει δε ὁ Ιησους περι του θανατου αυτου, εκεινοι δε εδοξαν ὁτι
περι της κοιμησεως του ὑπνου λεγει. 14 Τοτε ουν ειπεν αυτοις ὁ Ιησους παρρησια: "Λαζαρος
απεθανεν. 15 Και χαιρω δι' ὑμας, ἱνα πιστευσητε, ὁτι ουκ ημην εκει. Αλλα[6] αγωμεν προς
αυτον." 16 Ειπεν ουν Θωμας (ὁ λεγομενος Διδυμος) τοις συμμαθηταις,[7] "Αγωμεν και ἡμεις,
ἱνα αποθανωμεν μετ' αυτου".

17 Ελθων ουν ὁ Ιησους, εὑρεν αυτον τεσσαρας ἡμερας ηδη[8] εχοντα εν τω μνημειω.
18 (Ἠν δε ἡ Βηθανια εγγυς των ῾Ιεροσολυμων, ὡς απο σταδιων δεκαπεντε· 19 και πολλοι[9]
εκ των Ιουδαιων εληλυθεισαν προς τας περι[10] Μαρθαν και Μαριαν,[11] ἱνα παραμυθησωνται[12]
αυτας περι του αδελφου αυτων.[13]) 20 ῾Η ουν Μαρθα, ὡς ηκουσεν ὁτι[14] Ιησους ερχεται,
ὑπηντησεν αυτω· Μαρια[15] δε εν τω οικω εκαθεζετο.

[Martha]

21 Ειπεν ουν[16] Μαρθα προς τον Ιησουν: "Κυριε, ει ἠς ὡδε ὁ αδελφος μου ουκ αν
ετεθνηκει.[17] 22 Αλλα[18] και νυν οιδα ὁτι ὁσα αν αιτηση τον Θεον, δωσει σοι ὁ Θεος."
23 Λεγει αυτη ὁ Ιησους, "Αναστησεται ὁ αδελφος σου". 24 Λεγει αυτω[19] Μαρθα, "Οιδα ὁτι
αναστησεται εν τη αναστασει εν τη εσχατη ἡμερα". 25 Ειπεν αυτη ὁ Ιησους: "Εγω ειμι ἡ
αναστασις και ἡ ζωη. ῾Ο πιστευων εις εμε, καν αποθανη, ζησεται· 26 και πας ὁ ζων και
πιστευων εις εμε ου μη αποθανη εις τον αιωνα. Πιστευεις τουτο?" 27 Λεγει αυτω, "Ναι,
Κυριε, εγω πεπιστευκα ὁτι συ εἶ[20] ὁ Χριστος, ὁ Υἱος του Θεου, ὁ εις τον κοσμον
ερχομενος."

[Mary]

28 Και ταυτα[21] ειπουσα, απηλθεν και εφωνησεν Μαριαν[22] την αδελφην αυτης, λαθρα
ειπουσα, "῾Ο διδασκαλος παρεστιν και φωνει σε!" 29 Εκεινη[23] ὡς ηκουσεν, εγειρεται[24] ταχυ

---

[1] ραββι $\mathbf{f}^{35}$ $P^{75v}$ [90%] CP,HF,RP,OC,TR,NU || ραββει $P^{45,66}$ℵA,B,C,D,W [10%]

[2] απεκριθη $\mathbf{f}^{35}$ $P^{66,75}$ℵA,B,C,D,W [85%] CP,HF,RP,OC,NU || 1 ο $P^{45}$ [15%] TR

[3] ωραι εισιν $\mathbf{f}^{35}$ $P^{66}$ℵA,B,C,W [60%] CP,NU || ~ 21 [40%] HF,RP,OC,TR || ωρας εχει D

[4] εξυπνισω *rell* || εξυπνησω [15%] || εξυπνισαι D

[5] οι μαθηται αυτου $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,OC,TR || 12 αυτω $P^{66,75}$B,C [8%] NU || ~ αυτω 12 ℵD,W [2%] || αυτω A

[6] αλλα *rell* || αλλ B [20%] OC,TR

[7] συμμαθηταις $\mathbf{f}^{35}$ $P^{75}$ [90%] CP,HF,RP,OC,TR,NU || συνμαθηταις $P^{66}$ℵA,B,C,D,W [5%] || μαθηταις [5%]

[8] τεσσαρας ημερας ηδη $\mathbf{f}^{35}$ [98.5%] CP,HF,RP,OC,TR || ~ 132 $P^{75}$B,C [1%] NU || ~ 312 $P^{66}$ || 12 A,D || τεσσαρες 23 ℵ || two other variants

[9] και πολλοι $\mathbf{f}^{35}$ A [98%] CP,HF,RP,OC,TR || ~ 2 δε $P^{66,75}$ℵB,C,D,W [1%] NU || ~ 2 ουν [1%]

[10] τας περι $\mathbf{f}^{35}$ A [99%] HF,RP,OC,TR || την $P^{66,75v}$ℵB,C,W [1%] CP,NU || --- D || one other variant

[11] μαριαν $\mathbf{f}^{35}$ $P^{66}$ℵA,W [99%] CP,HF,RP,OC,TR || μαριαμ $P^{75}$B,C,D [1%] NU

[12] παραμυθησωνται *rell* || παραμυθησονται [15%]

[13] αυτων $\mathbf{f}^{35}$ A,C [99%] CP,HF,RP,OC,TR || --- $P^{45,66,75}$ℵB,D,W [1%] NU

[14] οτι $\mathbf{f}^{35}$ $P^{45,66,75}$ℵA,B,C,D,W [90%] CP,HF,RP,NU || 1 ο [10%] OC,TR

[15] μαρια *rell* || μαριαμ [1%] NU

[16] ουν $\mathbf{f}^{35}$ A [60%] CP,HF,RP || 1 η $P^{66,75}$ℵB,C,D,W [40%] OC,TR,NU

[17] ο αδελφος μου ουκ αν ετεθνηκει $\mathbf{f}^{35}$ [95%] CP,HF,RP,OC,TR || ~ 45 απεθανεν 123 $P^{75}$ℵB,C,W [0.5%] NU || 12345 απεθανεν $P^{45,66}$ [2%] || ~ 451236 A || ~ 45123 απεθανεν D || ~ 45 απεθανεν 312 [1%] || two other variants [1%]

[18] αλλα $\mathbf{f}^{35}$ $P^{45,66}$A,D,W [99%] CP,HF,RP,OC,TR[NU] || --- $P^{75}$ℵB,C [1%]

[19] αυτω $\mathbf{f}^{35}$ $P^{45,75}$ℵA,W [85%] HF,RP,OC,TR || 1 η $P^{66}$B,C,D [15%] CP,NU

[20] ει *rell* || --- OC

[21] ταυτα $\mathbf{f}^{35}$ $P^{66}$A,D [99.5%] CP,HF,RP,OC,TR || τουτο $P^{75v}$ℵB,C,W [0.5%] NU

[22] μαριαν $\mathbf{f}^{35}$ $P^{45,66}$ℵW [95%] CP,HF,RP,OC,TR || μαριαμ $P^{75v}$A,B,C(D) [5%] NU

[23] εκεινη $\mathbf{f}^{35}$ $P^{66}$A,D [98%] CP,HF,RP,OC,TR || 1 δε $P^{75}$ℵB,C,W [2%] NU

[24] εγειρεται $\mathbf{f}^{35}$ $P^{45,66}$A [98.5%] CP,HF,RP,OC,TR || ηγερθη $P^{75}$ℵB,C,D,W [1.5%] NU

και ερχεται[1] προς αυτον. 30 (Ουπω δε εληλυθει ὁ Ιησους εις την κωμην, ἀλλ' ἦν εν[2] τω
τοπω ὁπου ὑπηντησεν αυτω ἡ Μαρθα. 31 Οἱ ουν Ιουδαιοι οἱ οντες μετ' αυτης εν τη οικια
και παραμυθουμενοι αυτην, ιδοντες την Μαριαν[3] ὁτι ταχεως ανεστη και εξηλθεν, ηκολου-
θησαν αυτη, λεγοντες[4] ὁτι "'Υπαγει εις το μνημειον ἱνα κλαυση εκει".) 32 Ἡ ουν Μαρια,[5]
ὡς ηλθεν ὁπου ἦν ὁ[6] Ιησους, ιδουσα αυτον, επεσεν αυτου εις τους ποδας,[7] λεγουσα αυτω,
"Κυριε, ει ἦς ὡδε ουκ αν απεθανεν μου[8] ὁ αδελφος!"

[Jesus is troubled]

33 Ιησους ουν ὡς ειδεν αυτην κλαιουσαν, και τους συνελθοντας αυτη Ιουδαιους
κλαιοντας, ενεβριμησατο τω πνευματι και εταραξεν ἑαυτον. 34 Και ειπεν, "Που τεθεικατε
αυτον?" Λεγουσιν αυτω, "Κυριε, ερχου και ιδε". 35 Εδακρυσεν ὁ Ιησους. 36 Ελεγον ουν
οἱ Ιουδαιοι, "Ιδε πως εφιλει αυτον!" 37 Τινες δε εξ αυτων ειπον,[9] "Ουκ ηδυνατο[10] οὑτος,
ὁ ανοιξας τους οφθαλμους του τυφλου, ποιησαι ἱνα και οὑτος μη αποθανη?" 38 Ιησους ουν,
παλιν εμβριμωμενος εν ἑαυτω, ερχεται εις το μνημειον.

[Jesus raises Lazarus from the dead]

Ἦν δε σπηλαιον, και λιθος επεκειτο επ' αυτω. 39 Λεγει ὁ Ιησους, "Αρατε τον
λιθον!" Λεγει αυτω ἡ αδελφη του τεθνηκοτος,[11] Μαρθα, "Κυριε, ηδη οζει· τεταρταιος γαρ
εστιν!" 40 Λεγει αυτη ὁ Ιησους, "Ουκ ειπον σοι ὁτι εαν πιστευσης οψει[12] την δοξαν του
Θεου?" 41 Ηραν ουν τον λιθον οὗ ἦν ὁ τεθνηκως κειμενος.[13] Ὁ δε Ιησους ηρεν τους
οφθαλμους ανω και ειπεν: "Πατερ, ευχαριστω σοι ὁτι ηκουσας μου. 42 Εγω δε ηδειν ὁτι
παντοτε μου ακουεις, αλλα δια τον οχλον τον περιεστωτα ειπον, ἱνα πιστευσωσιν ὁτι συ
με απεστειλας." 43 Και ταυτα ειπων, φωνη μεγαλη εκραυγασεν, "Λαζαρε, δευρο εξω!"
44 Και[14] εξηλθεν ὁ τεθνηκως, δεδεμενος τους ποδας και τας χειρας κειριαις, και ἡ οψις
αυτου σουδαριω περιεδεδετο. Λεγει αυτοις ὁ Ιησους, "Λυσατε αυτον και αφετε[15] ὑπαγειν".

[The reaction]

45 Πολλοι ουν εκ των Ιουδαιων οἱ ελθοντες προς την Μαριαν,[16] και θεασαμενοι
ἃ[17] εποιησεν ὁ Ιησους,[18] επιστευσαν εις αυτον. 46 Τινες δε εξ αυτων απηλθον προς τους
Φαρισαιους και ειπον αυτοις ὁσα[19] εποιησεν ὁ[20] Ιησους. 47 Συνηγαγον ουν οἱ αρχιερεις
και οἱ Φαρισαιοι συνεδριον, και ελεγον: "Τί ποιουμεν? Ὁτι οὑτος ὁ ανθρωπος πολλα
σημεια ποιει.[21] 48 Εαν αφωμεν αυτον οὑτως,[22] παντες πιστευσουσιν εις αυτον, και ελευ-
σονται οἱ Ῥωμαιοι και αρουσιν ἡμων και τον τοπον και το εθνος!"

---

1 ερχεται **f**$^{35}$ $P^{45,66}$A,D [99%] CP,HF,RP,OC,TR || ηρχετο $P^{75}$אB,C,W [1%] NU

2 ην εν **f**$^{35}$ A,D [96.5%] CP,HF,RP,OC,TR || 1 ετι 2 $P^{75}$אB,C,W [2%] NU || 1 ετι επι $P^{66}$ [1%] || 1 επι $P^{45}$ [0.5%]

3 μαριαν **f**$^{35}$ $P^{66}$אA,W [99%] CP,HF,RP,OC,TR || μαριαμ $P^{75}$B,C,D [1%] NU

4 λεγοντες **f**$^{35}$ $P^{66}$A [98%] CP,HF,RP,OC,TR || δοξαντες אB,C,D,W [2%] NU || δοξαζοντες $P^{75v}$

5 μαρια **f**$^{35}$ $P^{45,66}$אA,D,W [99%] CP,HF,RP,OC,TR || μαριαμ $P^{75}$B,C [1%] NU

6 ο **f**$^{35}$ $P^{45}$W [95%] CP,HF,RP,OC,TR || --- $P^{66}$אA,B,C,D [5%] NU

7 αυτου εις τους ποδας **f**$^{35}$ $P^{66}$A [78%] CP,HF,RP,OC || ~ 2341 [20%] TR || 1 προς 34 אB,C,W [2%] NU || ~ προς 341 D

8 απεθανεν μου **f**$^{35}$ $P^{45v}$A [99%] CP,HF,RP,OC,TR || ~ 21 $P^{66,75}$אB,C(D)W [1%] NU

9 ειπον **f**$^{35}$ $P^{(66)75v}$B,C(D)W [95%] CP,HF,RP,OC,TR || ειπαν א [alone] NU || ελεγον A [5%]

10 ηδυνατο **f**$^{35}$ אA [99%] CP,HF,RP,OC,TR || εδυνατο $P^{66}$B,C,D,W [1%] NU

11 τεθνηκοτος **f**$^{35}$ [97%] CP,HF,RP,OC,TR || τετελευτηκοτος אA,B,C(D)W [1%] NU || τετελευκοτος $P^{66}$ || τελευτηκοτος [2%]

12 οψει **f**$^{35}$ [70%] CP,HF,RP,OC,TR || οψη $P^{66}$אA,B,C,D,W [30%] NU

13 ου ην ο τεθνηκως κειμενος **f**$^{35}$ [96%] CP,HF,RP,OC,TR || 12 A [2%] || --- $P^{66,75}$אB,C,D,W [2%] NU

14 και **f**$^{35}$ $P^{45v}$אA,W [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$B,C [0.5%] NU || 1 ευθυς D

15 αφετε **f**$^{35}$ (א)A,D(W) [99%] CP,HF,RP,OC,TR || 1 αυτον $P^{45(66)75}$B,C [1%] NU

16 μαριαν **f**$^{35}$ $P^{45,66}$אA,W [99.5%] CP,HF,RP,OC,TR || μαριαμ $P^{6}$B,C,D [0.5%] NU

17 α *rell* || οσα CP || ο $P^{66}$B,C,D [1%]

18 ο ιησους **f**$^{35}$ D [98%] CP,HF,RP,OC,TR || 2 א || --- $P^{6,45,66}$A,B,C,W [2%] NU

19 οσα **f**$^{35}$ A [29%] || α $P^{66}$אB [70%] CP,HF,RP,OC,TR,NU || ο C,D [1%]

20 ο **f**$^{35}$ אA,W [99.5%] CP,HF,RP,OC,TR || --- $P^{6,66}$B,C,D [0.5%] NU

21 σημεια ποιει **f**$^{35}$ D [98%] CP,HF,RP,OC,TR || ~ 21 $P^{45v,66}$אA,B,W [2%] NU

22 ουτως **f**$^{35}$ $P^{45,66}$אA,B,D,W [50%] CP,RP,NU (Just for the record, *sigma* before consonant.)

49 Εἱς δε τις εξ αυτων, Καιαφας, αρχιερευς ων του ενιαυτου εκεινου, ειπεν αυτοις,
"'Υμεις ουκ οιδατε ουδεν, 50 ουδε διαλογιζεσθε[1] ὁτι συμφερει ἡμιν[2] ἱνα εἱς ανθρωπος
αποθανη ὑπερ του λαου, και μη ὁλον το εθνος αποληται!" 51 (Τουτο δε αφ' ἑαυτου ουκ
ειπεν, αλλα αρχιερευς ων του ενιαυτου εκεινου προεφητευσεν[3] ὁτι εμελλεν ὁ[4] Ιησους αποθ-
νησκειν ὑπερ του εθνους· 52 και ουχ ὑπερ του εθνους μονον, αλλ' ἱνα και τα τεκνα του
Θεου τα διεσκορπισμενα[5] συναγαγη[6] εις ἑν.) 53 Απ' εκεινης ουν της ἡμερας συνεβουλευσαντο[7]
ἱνα αποκτεινωσιν αυτον.

*[A tactical withdrawal]*

54 Ιησους ουν[8] ουκετι παρρησια περιεπατει εν τοις Ιουδαιοις, αλλα απηλθεν εκειθεν
εις την χωραν εγγυς της ερημου, εις Εφραιμ λεγομενην πολιν. Κακει διετριβεν[9] μετα των
μαθητων αυτου.[10]

*[The Passover is near]*

55 Ἠν δε εγγυς το Πασχα των Ιουδαιων, και ανεβησαν πολλοι εις Ἱεροσολυμα εκ
της χωρας προ του Πασχα ἱνα ἁγνισωσιν ἑαυτους. 56 Εζητουν ουν τον Ιησουν, και ελεγον
μετ'[11] αλληλων εν τω ἱερω ἑστηκοτες, "Τί ὑμιν δοκει[12]—ὁτι ου μη ελθη εις την ἑορτην?"
57 Δεδωκεισαν δε και[13] οἱ αρχιερεις και οἱ Φαρισαιοι εντολην,[14] ἱνα εαν τις γνω που
εστιν, μηνυση, ὁπως πιασωσιν αυτον.

## [The last week]

*[Mary anoints Jesus' feet]*

**12**.1 Ὁ ουν Ιησους, προ ἑξ ἡμερων του Πασχα, ηλθεν εις Βηθανιαν, ὁπου ἠν Λαζαρος (ὁ
τεθνηκως,[15] ὁν ηγειρεν εκ νεκρων).[16] 2 Εποιησαν ουν αυτω δειπνον εκει—και ἡ Μαρθα
διηκονει, ὁ δε Λαζαρος εἱς ἠν[17] των ανακειμενων συν[18] αυτω. 3 Ἡ ουν Μαρια,[19] λαβουσα
λιτραν μυρου ναρδου, πιστικης πολυτιμου, ηλειψεν τους ποδας του Ιησου, και εξεμαξεν ταις
θριξιν αυτης τους ποδας αυτου. Ἡ δε οικια επληρωθη εκ της οσμης του μυρου.

[Judas has a problem]

4 Λεγει ουν[20] εἱς εκ των μαθητων αυτου, Ιουδας Σιμωνος Ισκαριωτης[21] (ὁ μελλων
αυτον παραδιδοναι), 5 "Δια τί τουτο το μυρον ουκ επραθη τριακοσιων δηναριων και εδοθη
πτωχοις?" 6 (Ειπεν δε τουτο, ουχ ὁτι περι των πτωχων εμελεν[22] αυτω, αλλ' ὁτι κλεπτης
ἠν και το γλωσσοκομον ειχεν, και[23] τα βαλλομενα εβασταζεν.) 7 Ειπεν ουν ὁ Ιησους: "Αφες

---

[1] διαλογιζεσθε $\mathbf{f}^{35}$ [98%] CP,HF,RP,OC,TR || λογιζεσθε $P^{66}$ℵA,B,D,W [2%] NU
[2] ημιν $\mathbf{f}^{35}$ A,W [98%] CP,HF,RP,OC,TR || υμιν $P^{45,66}$B,D [2%] NU || --- ℵ
[3] προεφητευσεν $\mathbf{f}^{35}$ A,W [99%] CP,HF,RP,OC,TR || επροφητευσεν $P^{45,66}$ℵB,D [1%] NU
[4] ο $\mathbf{f}^{35}$ [35%] CP,OC,TR || --- $P^{45,66}$ℵA,B(D,W) [65%] HF,RP,NU
[5] διεσκορπισμενα *rell* || διασκορπισμενα CP || εσκορπισμενα $P^{45,66}$D
[6] συναγαγη *rell* || συναγαγει [1%] CP
[7] συνεβουλευσατο $\mathbf{f}^{35}$ A [98%] CP,HF,RP,OC,TR || εβουλευσαντο $P^{45,66,75}$ℵB,D,W [2%] NU
[8] ιησους ουν $\mathbf{f}^{35}$ A,D [97%] CP,HF,RP,OC,TR || ~ ο 21 $P^{75v}$ℵB,W [3%] NU || ο δε 1 $P^{66}$
[9] διετριβεν $\mathbf{f}^{35}$ ($P^{45}$)A,D [99%] CP,HF,RP,OC,TR || εμεινεν $P^{66,75}$ℵB,W [1%] NU
[10] αυτου $\mathbf{f}^{35}$ A [98%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,D,W [2%] NU
[11] μετ *rell* || μετα [1%] CP
[12] υμιν δοκει $\mathbf{f}^{35}$ [20%] || ~ 21 $P^{45v,66,75v}$ℵA,B,W [80%] CP,HF,RP,OC,TR,NU || δοκειτε D || two other variants
[13] και $\mathbf{f}^{35}$ D [90%] CP,HF,RP,OC,TR || --- $P^{66,75}$ℵA,B,W [10%] NU
[14] εντολην $\mathbf{f}^{35}$ $P^{66}$A,D [97%] CP,HF,RP,OC,TR || εντολας ℵB,W [3%] NU
[15] ο τεθνηκως $\mathbf{f}^{35}$ $P^{66}$A,D [99.5%] CP,HF,RP,OC,TR || --- ℵB,W [0.5%] NU
[16] εκ νεκρων $\mathbf{f}^{35}$ [95%] CP,HF,RP,OC,TR || 12 ιησους $P^{66}$B [alone] NU || 12 ο ιησους A,D,W [5%] || ιησους 12 ℵ
[17] ην $\mathbf{f}^{35}$ A,D,W [99.5%] CP,HF,RP,OC,TR || 1 εκ ℵB [0.5%] NU || εκ $P^{66}$
[18] ανακειμενων συν *rell* || συνανακειμενων [10%] TR
[19] μαρια $\mathbf{f}^{35}$ $P^{66}$ℵA,D,W [99%] CP,HF,RP,OC,TR || μαριαμ B [1%] NU
[20] ουν $\mathbf{f}^{35}$ A,D,Q [99%] CP,HF,RP,OC,TR || δε $P^{66}$ℵB,W [0.5%] NU || --- [0.5%]
[21] εις εκ των μαθητων αυτου ιουδας σιμωνος ισκαριωτης $\mathbf{f}^{35}$ A [97.5%] CP,HF,RP,OC,TR || 1234567 ο 8 [1%] || ~ 6 ο 812345 ℵ [0.5%] [NU] || ~ 6 ο 81345 $P^{66,75v}$B,W [1%] || 1345678 Q || three other variants
[22] εμελεν $\mathbf{f}^{35}$ $P^{66,75}$ℵA,B,D,Q,W [40%] HF,RP,OC,TR,NU || εμελλεν [60%] CP || one other variant
[23] ειχεν και $\mathbf{f}^{35}$ $P^{66}$A [98.5%] CP,HF,RP,OC,TR || εχων $P^{75}$ℵB,D,Q,W [1%] NU || εχων 2 [0.5%]

αυτην·[1] εις την ἡμεραν του ενταφιασμου μου τετηρηκεν[2] αυτο. 8 Τους πτωχους γαρ παντοτε
εχετε μεθ' ἑαυτων, εμε δε ου παντοτε εχετε."

[Lazarus is a problem]

9 Εγνω ουν[3] οχλος πολυς εκ των Ιουδαιων ὁτι εκει εστιν· και ηλθον, ου δια τον
Ιησουν μονον, αλλ' ἱνα και τον Λαζαρον ιδωσιν, ὁν ηγειρεν εκ νεκρων. 10 Εβουλευσαντο
δε οἱ αρχιερεις ἱνα και τον Λαζαρον αποκτεινωσιν, 11 ὁτι πολλοι δι' αυτον ὑπηγον των
Ιουδαιων και επιστευον εις τον Ιησουν.

*[The 'Trimphal' Entry]*

12 Τη επαυριον[4] οχλος πολυς ὁ ελθων εις την ἑορτην, ακουσαντες ὁτι ερχεται ὁ[5]
Ιησους εις Ἱεροσολυμα, 13 ελαβον τα βαια των φοινικων και εξηλθον εις απαντησιν[6] αυτω.
Και εκραζον:[7] "'Ὡσαννα!' 'Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου!'[8] 'Βασιλευς του
Ισραηλ!'" 14 Εὑρων δε ὁ Ιησους οναριον, εκαθισεν[9] επ' αυτω·[10] καθως εστιν γεγραμμενον:
15 "Μη φοβου, θυγατερ[11] Σιων· ιδου, ὁ Βασιλευς σου ερχεται, καθημενος επι πωλον ονου!"
16 (Ταυτα δε[12] ουκ εγνωσαν οἱ μαθηται αυτου[13] το πρωτον· αλλ' ὁτε εδοξασθη ὁ[14] Ιησους,
τοτε εμνησθησαν ὁτι ταυτα ἠν επ' αυτω γεγραμμενα, και ταυτα εποιησαν αυτω.)

17 Εμαρτυρει ουν ὁ οχλος ὁ ων μετ' αυτου ὁτε τον Λαζαρον εφωνησεν εκ του
μνημειου και ηγειρεν αυτον εκ νεκρων. 18 Δια τουτο και ὑπηντησεν αυτω[15] ὁ οχλος, ὁτι
ηκουσεν[16] τουτο αυτον πεποιηκεναι το σημειον. 19 Οἱ ουν Φαρισαιοι ειπον προς ἑαυτους:
"Θεωρειτε ὁτι ουκ ωφελειτε ουδεν! Ιδε, ὁ κοσμος οπισω αυτου απηλθεν!"

*[Some Greeks]*

20 Ησαν δε τινες Ἑλληνες[17] εκ των αναβαινοντων ἱνα προσκυνησωσιν εν τη ἑορτη.
21 Οὑτοι ουν προσηλθον Φιλιππω τω απο Βηθσαιδα της Γαλιλαιας, και ηρωτων αυτον
λεγοντες, "Κυριε, θελομεν τον Ιησουν ιδειν". 22 Ερχεται[18] Φιλιππος και λεγει τω Ανδρεα,
και παλιν[19] Ανδρεας και Φιλιππος[20] λεγουσιν τω Ιησου. 23 Ὁ δε Ιησους απεκρινατο[21] αυτοις
λεγων: "Εληλυθεν ἡ ὡρα ἱνα δοξασθη ὁ Υἱος του Ανθρωπου. 24 Αμην, αμην λεγω ὑμιν,
εαν μη ὁ κοκκος του σιτου, πεσων εις την γην, αποθανη, αυτος μονος μενει· εαν δε αποθανη,
πολυν καρπον φερει. 25 Ὁ φιλων την ψυχην αυτου απολεσει[22] αυτην, και ὁ μισων την
ψυχην αυτου, εν τω κοσμω τουτω, εις ζωην αιωνιον φυλαξει αυτην. 26 Εαν εμοι διακονη

---

[1] αυτην **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || 1 ινα $P^{66,75}$ℵB,D,Q,W [2%] NU || 1 οτι [1%]

[2] τετηρηκεν **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || τηρηση $P^{66,75}$ℵB(D)Q,W [2%] NU

[3] ουν **f**$^{35}$ $P^{66,75}$A,Q [99.5%] CP,HF,RP,OC,TR || 1 ο ℵB,W [0.5%] [NU] || δε (D)

[4] επαυριον **f**$^{35}$ ℵA,D,Q,W [99.5%] CP,HF,RP,OC,TR || επαυριον ο $P^{66}$B [0.5%] NU

[5] ο **f**$^{35}$ $P^{66,75}$B [40%] CP,TR,NU || --- ℵ(A)D,Q,W [60%] HF,RP,OC

[6] απαντησιν **f**$^{35}$ A [38%] || υπαντησιν $P^{66,75}$ℵB,Q,W [60%] CP,HF,RP,OC,TR,NU || συναντησιν D [2%] [Moulton & Milligan (p.53) opine that απαντησις "seems to have been a kind of *t.t.* for the official welcome of a newly arrived dignitary—a usage which accords excellently with its NT usage".]

[7] εκραζον **f**$^{35}$ A [98.5%] CP,HF,RP,OC,TR || εκραυγαζον $P^{75}$ℵD,W [1%] NU || εκραυγασαν $P^{66}$B,Q [0.5%]

[8] κυριου **f**$^{35}$ A [95%] CP,HF,RP,OC || 1 ο $P^{66}$D [4%] TR || 1 και ο $P^{75}$ℵB,Q,W [1%] [NU]

[9] εκαθισεν *rell* || εκαθησεν [10%] CP

[10] αυτω **f**$^{35}$ [30%] CP || αυτο $P^{66,75}$ℵA,B,D,Q,W [70%] HF,RP,OC,TR,NU [The dative fits better with verse 15 than does the accusative.]

[11] θυγατερ **f**$^{35}$ ℵ [97%] CP,HF,RP,OC,TR || θυγατηρ $P^{66}$A,B,D,Q,W [3%] NU

[12] δε **f**$^{35}$ A,D [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,Q,W [0.5%] NU

[13] οι μαθηται αυτου **f**$^{35}$ $P^{66}$A,D,Q,W [97.5%] CP,HF,RP,OC,TR || ~ 312 $P^{75}$ℵB [0.5%] NU || 12 [2%]

[14] ο **f**$^{35}$ D,W [80%] CP,HF,OC,TR || --- $P^{66,75}$ℵA,B,Q [20%] RP,NU

[15] και υπηντησεν αυτω **f**$^{35}$ ℵA(D)Q,W [99%] CP,HF,RP,OC,TR[NU] || 23 $P^{66,75}$ [1%] || ~ 231 B

[16] ηκουσεν **f**$^{35}$ [90%] CP,HF,RP,TR || ηκουσαν $P^{66,75}$ℵA,B,D,Q,W [10%] OC,NU

[17] τινες ελληνες **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || ~ 21 $P^{66,75}$ℵB,Q,W [3%] NU || ~ και 21 D

[18] ερχεται **f**$^{35}$ ℵA,D,W [99%] CP,HF,RP,OC,TR || 1 ο $P^{66,75}$B [1%] NU

[19] και παλιν **f**$^{35}$ $P^{66}$W [99%] CP,HF,RP,OC,TR || ερχεται $P^{75}$A,B [0.5%] NU || 12 ερχεται ℵ [0.5%] || 2 D

[20] φιλιππος **f**$^{35}$ $P^{66}$D,W [99%] CP,HF,RP,OC,TR || 1 και $P^{75}$ℵA,B [1%] NU

[21] απεκρινατο **f**$^{35}$ A,D [98%] CP,HF,RP,OC,TR || αποκρινεται $P^{66,75}$ℵ(B)W [1%] NU || απεκριθη [1%]

[22] απολεσει **f**$^{35}$ A,D [98.5%] CP,HF,RP,OC,TR || απολλυει $P^{66,75}$ℵB,W [1%] NU || two other variants [0.5%]

τις,[1] εμοι ακολουθειτω· και ὁπου ειμι εγω, εκει και ὁ διακονος ὁ εμος εσται. Και,[2] εαν τις εμοι διακονη, τιμησει αυτον ὁ Πατηρ.

*[A Voice out of Heaven]*

27 "Νυν ἡ ψυχη μου τεταρακται, και τί ειπω—'Πατερ, σωσον με εκ της ὡρας ταυτης'? Αλλα δια τουτο ηλθον εις την ὡραν ταυτην—28 'Πατερ, δοξασον σου το ονομα!'" Ηλθεν ουν **φωνη** εκ του ουρανου, "Και εδοξασα και παλιν δοξασω!" 29 Ὁ ουν οχλος ὁ ἑστως και ακουσας ελεγεν βροντην γεγονεναι. Αλλοι ελεγον, "Αγγελος αυτω λελαληκεν". 30 Απεκριθη Ιησους και ειπεν:[3] "Ου δι' εμε αὑτη ἡ φωνη[4] γεγονεν, αλλα δι' ὑμας. 31 Νυν κρισις εστιν του κοσμου τουτου·[5] νυν ὁ αρχων του κοσμου τουτου εκβληθησεται εξω. 32 Καγω, εαν ὑψωθω εκ της γης, παντας ἑλκυσω προς εμαυτον." 33 (Τουτο δε ελεγεν σημαινων ποιω θανατω ημελλεν[6] αποθνησκειν.) 34 Απεκριθη[7] αυτω ὁ οχλος: "'Ἡμεις ηκουσαμεν εκ του νομου ὁτι ὁ Χριστος μενει εις τον αιωνα· και πως συ λεγεις,[8] 'Δει[9] ὑψωθηναι τον Υἱον του Ανθρωπου'? Τίς εστιν οὗτος ὁ Υἱος του Ανθρωπου?"

35 Ειπεν ουν αυτοις ὁ Ιησους: "Ετι μικρον χρονον το φως μεθ' ὑμων[10] εστιν. Περιπατειτε ἑως[11] το φως εχετε, ἱνα μη σκοτια ὑμας καταλαβη· και ὁ περιπατων εν τη σκοτια ουκ οιδεν που ὑπαγει. 36 Ἑως[12] το φως εχετε, πιστευετε εις το φως, ἱνα υἱοι φωτος γενησθε." Ταυτα ελαλησεν ὁ[13] Ιησους, και απελθων εκρυβη απ' αυτων.

[An editorial comment]

37 Τοσαυτα δε αυτου σημεια πεποιηκοτος εμπροσθεν αυτων, ουκ επιστευον εις αυτον· 38 ἱνα ὁ λογος Ἡσαιου του προφητου πληρωθη, ὃν ειπεν: "Κυριε, τίς επιστευσεν τη ακοη ἡμων? Και ὁ βραχιων Κυριου τίνι απεκαλυφθη?" 39 Δια τουτο ουκ ηδυναντο πιστευειν, ὁτι παλιν ειπεν Ἡσαιας: 40 "Τετυφλωκεν αυτων τους οφθαλμους, και πεπωρωκεν[14] αυτων την καρδιαν, ἱνα μη ιδωσιν τοις οφθαλμοις, και νοησωσιν τη καρδια και επιστραφωσιν,[15] και ιασωμαι[16] αυτους." 41 Ταυτα ειπεν Ἡσαιας ὁτε[17] ειδεν την δοξαν αυτου και ελαλησεν περι αυτου.

42 Ὁμως μεντοι και εκ των αρχοντων πολλοι επιστευσαν εις αυτον, αλλα δια τους Φαρισαιους ουχ ὡμολογουν, ἱνα μη αποσυναγωγοι γενωνται· 43 ηγαπησαν γαρ την δοξαν των ανθρωπων μαλλον ηπερ την δοξαν του Θεου.

*[The last public word]*

44 Ιησους δε εκραξεν και ειπεν: "Ὁ πιστευων εις εμε ου πιστευει εις εμε αλλ'[18] εις τον πεμψαντα με. 45 Και ὁ θεωρων εμε θεωρει τον πεμψαντα με. 46 Εγω, φως, εις τον κοσμον εληλυθα, ἱνα πας ὁ πιστευων εις εμε εν τη σκοτια μη μεινη. 47 Και, εαν τις μου ακουση των ῥηματων και μη πιστευση,[19] εγω ου κρινω αυτον· ου γαρ ηλθον ἱνα κρινω τον

---

[1] διακονη τις **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || ~ 21 P$^{66,75}$ℵA,B(D)W [9%] NU || διακονει 2 [1%]

[2] και **f**$^{35}$ A [95%] CP,HF,RP,OC,TR || --- P$^{66,75}$ℵB,D,W [5%] NU

[3] ιησους και ειπεν **f**$^{35}$ P$^{66}$D,W [50%] CP,RP,NU || ο 123 A [50%] HF,OC,TR || ~ 231 P$^{75}$B || 1 ℵ

[4] αυτη η φωνη **f**$^{35}$ [97%] CP,HF,RP,OC,TR || ~ 231 P$^{66,75}$ℵA,B,D,W [3%] NU

[5] τουτου *rell* || --- P$^{66}$D,W,CP

[6] ημελλεν **f**$^{35}$ P$^{66,75}$A,B,D,W [60%] CP,OC,TR,NU || εμελλεν ℵ [40%] HF,RP

[7] απεκριθη **f**$^{35}$ A,D [99%] CP,HF,RP,OC,TR || 1 ουν P$^{66,75v}$ℵB,W [1%] NU

[8] συ λεγεις **f**$^{35}$ P$^{66}$ℵA,D [99.5%] CP,HF,RP,OC,TR || ~ 21 P$^{75}$B,W [0.5%] NU

[9] δει **f**$^{35}$ P$^{75}$ [70%] CP,HF,RP,OC || οτι 1 P$^{66}$ℵA,B,D,W [30%] TR,NU

[10] μεθ υμων **f**$^{35}$ A [90%] CP,HF,RP,OC,TR || εν υμιν P$^{66,75}$ℵB,D,W [10%] NU

[11] εως **f**$^{35}$ P$^{66}$ℵ [97%] CP,HF,RP,OC,TR || ως P$^{75}$A,B,W [3%] NU || ουν ως D

[12] εως **f**$^{35}$ P$^{66}$ [98%] CP,HF,RP,OC,TR || ως P$^{75}$ℵA,B,D,W [2%] NU

[13] ο **f**$^{35}$ P$^{75}$A,W [99.5%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵB,D [0.5%] NU

[14] πεπωρωκεν **f**$^{35}$ [95.5%] CP,HF,RP,OC,TR || επωρωσεν A,B [2%] NU || επηρωσεν P$^{66,75}$ℵW [2%] || --- D || four other variants

[15] επιστραφωσιν **f**$^{35}$ A [95.5%] CP,HF,RP,OC,TR || στραφωσιν P$^{66,75v}$(ℵ)B,D [0.5%] NU || επιστρεψωσιν W [2%] || at least four further variants [2%]

[16] ιασωμαι **f**$^{35}$ [80%] CP,HF,RP,TR || ιασομαι P$^{66,75}$ℵA,B,D,W [20%] OC,NU

[17] οτε **f**$^{35}$ D [98%] CP,HF,RP,OC,TR || οτι P$^{66,75}$ℵA,B [2%] NU || επει W

[18] αλλ **f**$^{35}$ P$^{66}$A [99%] CP,HF,RP,OC,TR || αλλα P$^{75}$ℵB,D,W [1%] NU

[19] πιστευση **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || φυλαξη P$^{(66)75}$ℵA,B,D,W [10%] NU

κοσμον, αλλ’ ἱνα σωσω τον κοσμον. 48 Ὁ αθετων εμε και μη λαμβανων τα ῥηματα μου εχει τον κρινοντα αυτον—ὁ λογος ὃν ελαλησα, εκεινος κρινει αυτον εν τη εσχατη ἡμερα· 49 ὁτι εγω εξ εμαυτου ουκ ελαλησα, αλλ’ ὁ πεμψας με Πατηρ, αυτος μοι εντολην εδωκεν,[1] τί ειπω και τί λαλησω. 50 Και οιδα ὁτι ἡ εντολη αυτου ζωη αιωνιος εστιν. “Ἁ ουν λαλω εγω,[2] καθως ειρηκεν μοι ὁ Πατηρ, οὑτως λαλω.”

## [The last night]

**13**.1 Προ δε της ἑορτης του Πασχα, ειδως ὁ Ιησους ὁτι εληλυθεν[3] αυτου ἡ ὡρα ἱνα μεταβη εκ του κοσμου τουτου προς τον Πατερα, αγαπησας τους ιδιους τους εν τω κοσμω, εις τελος ηγαπησεν αυτους.

### *[Jesus washes the disciples’ feet]*

2 Και δειπνου γενομενου[4] (του διαβολου ηδη βεβληκοτος εις την καρδιαν Ιουδα Σιμωνος Ισκαριωτου ἱνα αυτον παραδω),[5] 3 ειδως ὁ Ιησους[6] ὁτι παντα δεδωκεν[7] αυτω ὁ Πατηρ εις τας χειρας, και ὁτι απο Θεου εξηλθεν και προς τον Θεον ὑπαγει, 4 εγειρεται εκ του δειπνου και τιθησιν τα ιματια, και λαβων λεντιον διεζωσεν ἑαυτον. 5 Ειτα βαλλει ὑδωρ εις τον νιπτηρα και ηρξατο νιπτειν τους ποδας των μαθητων και εκμασσειν τω λεντιω ᾧ ἦν διεζωσμενος.

[Simon Peter]

6 Ερχεται ουν προς Σιμωνα Πετρον· και[8] λεγει αυτω εκεινος,[9] “Κυριε, συ μου νιπτεις τους ποδας?” 7 Απεκριθη Ιησους και ειπεν αυτω, ““Ὁ εγω ποιω συ ουκ οιδας αρτι, γνωση δε μετα ταυτα”. 8 Λεγει αυτω[10] Πετρος, “Ου μη νιψης τους ποδας μου[11] εις τον αιωνα!” Απεκριθη αυτω ὁ Ιησους,[12] “Εαν μη νιψω σε, ουκ[13] εχεις μερος μετ’ εμου”. 9 Λεγει αυτω Σιμων Πετρος, “Κυριε, μη τους ποδας μου μονον, αλλα και τας χειρας και την κεφαλην!” 10 Λεγει αυτω ὁ Ιησους, ““Ὁ λελουμενος ου χρειαν εχει[14] ἡ τους ποδας[15] νιψασθαι, αλλ’ εστιν καθαρος ὁλος· και ὑμεις καθαροι εστε, αλλ’ ουχι παντες.” 11 (Ηδει γαρ τον παραδιδοντα αυτον· δια τουτο ειπεν,[16] “Ουχι παντες καθαροι εστε”.)

[Jesus explains His action]

12 Ὁτε ουν ενιψεν τους ποδας αυτων[17] και[18] ελαβεν τα ἱματια αυτου, αναπεσων[19] παλιν, ειπεν αυτοις: “Γινωσκετε τί πεποιηκα ὑμιν? 13 Ὑμεις φωνειτε με ‘Ὁ Διδασκαλος’, και ‘Ὁ Κυριος’, και καλως λεγετε, ειμι γαρ. 14 Ει ουν εγω ενιψα ὑμων τους ποδας, ὁ

---

[1] εδωκεν **f**$^{35}$ D [95%] CP,HF,RP,OC,TR || δεδωκαν $P^{66}$ℵA,B,W [5%] NU

[2] λαλω εγω **f**$^{35}$ [96%] CP,HF,RP,OC,TR || ~ 21 $P^{66,75v}$ℵA,B,W [4%] NU || 1 D

[3] εληλυθεν **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || ηλθεν ℵA,B,W [10%] NU || ηκει $P^{66}$ || παρην D

[4] γενομενου **f**$^{35}$ ($P^{66}$)A,D [99.5%] CP,HF,RP,OC,TR || γινομενου B [0.3%] NU || γεινομενου ℵW

[5] ιουδα σιμωνος ισκαριωτου ινα αυτον παραδω **f**$^{35}$ A [96.5%] CP,HF,RP,OC,TR || 23456 [1%] || ~ 4 παραδοι 5 ιουδας 2 ισκαριωτης ℵB || ~ 465 ιουδας 23 [2%] || ~ 4 παραδοι 5 ιουδας 23 [none!] NU || ~ 465 ιουδας σιμωννος ισκαριωτης $P^{66}$ || ~ 465 ιδας 2 ισκαριωτη W || two further variants D [NU serves up a lovely patchwork quilt.]

[6] ο ιησους **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || --- $P^{66}$ℵB,D,W [1%] NU || δε 12 [1%]

[7] δεδωκεν **f**$^{35}$ $P^{66}$A,D [97%] CP,HF,RP,OC,TR || εδωκεν ℵB,W [3%] NU

[8] και **f**$^{35}$ ℵA,W [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66}$B,D [0.5%] NU

[9] εκεινος **f**$^{35}$ A,D,W [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66}$(ℵ)B [0.5%] NU

[10] αυτω *rell* || 1 ο [15%]

[11] νιψης τους ποδος μου **f**$^{35}$ ℵA [97%] CP,HF,RP,OC,TR || ~ 1423 $P^{66}$B,C,W [1%] NU || ~ 4123 D [2%]

[12] αυτω ο ιησους **f**$^{35}$ ℵ [94%] CP,HF,RP,OC,TR || ~ 31 A,B,C [0.5%] NU || 13 $P^{66}$W [5%] || 3 D [0.5%]

[13] ουκ *rell* || ουχ CP

[14] ου χρειαν εχει **f**$^{35}$ D [99%] CP,HF,RP,OC,TR || ~ ουκ 32 $P^{66}$ℵA,B,C,W [1%] NU

[15] η τους ποδας **f**$^{35}$ A [96%] CP,HF,RP,OC,TR || ει μη 23 B,C,W [3%] NU || ει μη 23 μονον $P^{66}$(D) || 23 [0.5%] || --- ℵ

[16] ειπεν **f**$^{35}$ ℵA [99%] CP,HF,RP,OC,TR || 1 οτι $P^{66}$B,C,W [1%] NU || --- D

[17] αυτων *rell* || των μαθητων [15%]

[18] και **f**$^{35}$ B,C,D,W [99%] CP,HF,RP,OC,TR[NU] || --- $P^{66}$ℵA [1%]

[19] αναπεσων **f**$^{35}$ D [99%] CP,HF,RP,OC,TR || και ανεπεσεν ℵB,C,W [0.5%] NU || και 1 $P^{66}$ [0.5%] || --- A

Κυριος και ὁ Διδασκαλος, και ὑμεις οφειλετε αλληλων νιπτειν τους ποδας. 15 Ὑποδειγμα
γαρ δεδωκα[1] ὑμιν, ἱνα καθως[2] εποιησα ὑμιν και ὑμεις ποιητε.[3]

16 "Αμην, αμην λεγω ὑμιν, ουκ εστιν δουλος μειζων του κυριου αυτου, ουδε αποσ-
τολος μειζων του πεμψαντος αυτον. 17 Ει ταυτα οιδατε, μακαριοι εστε εαν ποιητε αυτα.

18 "Ου περι παντων ὑμων λεγω—εγω[4] οιδα οὓς[5] εξελεξαμην. Αλλ' ἱνα ἡ Γραφη
πληρωθη: "'Ο τρωγων μετ' εμου[6] τον αρτον επηρεν επ' εμε την πτερναν αυτου". 19 Απ'
αρτι λεγω ὑμιν προ του γενεσθαι, ἱνα όταν γενηται πιστευσητε[7] ότι εγω ειμι. 20 Αμην,
αμην λεγω ὑμιν, ὁ λαμβανων εαν[8] τινα πεμψω εμε λαμβανει· ὁ δε εμε λαμβανων λαμβανει
τον πεμψαντα με."

*[The traitor is identified]*

21 Ταυτα ειπων ὁ[9] Ιησους εταραχθη τω πνευματι και εμαρτυρησεν και ειπεν, "Αμην,
αμην λεγω ὑμιν ὁτι εἱς εξ ὑμων παραδωσει με!" 22 Εβλεπον δε[10] προς[11] αλληλους οἱ
μαθηται, απορουμενοι περι τινος λεγει. 23 Ἠν δε[12] ανακειμενος εἱς[13] των μαθητων αυτου
εν τω κολπω του Ιησου, ὃν ηγαπα ὁ Ιησους. 24 Νευει ουν τουτω Σιμων Πετρος πυθεσθαι
τίς αν ειη περι οὗ λεγει. 25 Επιπεσων[14] δε[15] εκεινος[16] επι το στηθος του Ιησου, λεγει αυτω,
"Κυριε, τίς εστιν?" 26 Αποκρινεται ὁ[17] Ιησους, "Εκεινος εστιν ᾧ εγω βαψας[18] το ψωμιον
επιδωσω".[19] Και εμβαψας[20] το ψωμιον[21] διδωσιν Ιουδα Σιμωνος Ισκαριωτη.[22] 27 Και μετα
το ψωμιον, τοτε εισηλθεν εις εκεινον ὁ Σατανας. Λεγει ουν αυτω ὁ Ιησους, ""Ο ποιεις,
ποιησον ταχιον!" 28 (Τουτο δε[23] ουδεις εγνω των ανακειμενων προς τί ειπεν αυτω. 29 Τι-
νες γαρ εδοκουν, επει το γλωσσοκομον ειχεν ὁ[24] Ιουδας, ὁτι λεγει αυτω ὁ[25] Ιησους,
"Αγορασον ὧν χρειαν εχομεν εις την ἑορτην", ἢ τοις πτωχοις ἱνα τι δω.) 30 Λαβων ουν
το ψωμιον εκεινος, ευθεως εξηλθεν.[26] Ἠν δε νυξ.

*[A new commandment]*

---

[1] δεδωκα **f35** P66 ℵA [35%] CP,OC || εδωκα B,C,D,W [65%] HF,RP,TR,NU
[2] καθως **f35** [25%] || 1 εγω P66 ℵA,B,C,D,W [75%] CP,HF,RP,OC,TR,NU
[3] ποιητε *rell* || ποιειτε D [30%]
[4] εγω *rell* || 1 γαρ ℵA [15%]
[5] ους **f35** P66 A,D,W [98%] CP,HF,RP,OC,TR || τινας ℵB,C [2%] NU
[6] μετ εμου **f35** P66 ℵA,D,W [99.5%] CP,HF,RP,OC,TR || μου B,C [0.5%] NU
[7] οταν γενηται πιστευσητε **f35** A [98%] CP,HF,RP,OC,TR || 12 πιστευσηται D,W [1%] || 12 πιστευητε C || ~ 312 [0.5%] NU || ~ πιστευσηται 12 P66 ℵ || ~ πιστευητε 12 B
[8] εαν **f35** D [97%] CP,HF,RP,OC,TR || αν P66 ℵB,C,W [3%] NU || α A
[9] ο **f35** A,C,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- P66 ℵB [0.5%]
[10] δε **f35** [20%] || ουν P66(ℵ)A,D,W [79.5%] CP,HF,RP,OC,TR || --- B,C [0.5%] NU
[11] προς **f35** [25%] || εις P66 ℵA,B,C,D,W [75%] CP,HF,RP,OC,TR,NU
[12] δε **f35** P66 ℵA,D,W [99.5%] CP,HF,RP,OC,TR || --- B,C [0.5%] NU
[13] εις **f35** [90%] CP,HF,RP,TR || 1 εκ P66 ℵA,B,C,D,W [10%] OC,NU
[14] επιπεσων **f35** ℵA,D,W [95%] CP,HF,RP,OC,TR || αναπεσων P66 B,C [5%] NU
[15] δε **f35** A [96%] CP,HF,RP,OC,TR || ουν P66 ℵ,D,W [4%] NU || --- B,C
[16] εκεινος **f35** ℵA,D,W [50%] CP,OC,TR || 1 ουτως P66 B,C [45%] HF,RP,NU || 1 ουτος [5%]
[17] ο **f35** ℵA,C,D [97%] CP,HF,RP,OC,TR[NU] || --- P66 B,W [3%]
[18] βαψας **f35** P66 ℵ [95%] CP,HF,RP,OC,TR || βαψω B,C [1%] NU || εμβαψας A(D,W) [4%]
[19] επιδωσω **f35** P66 ℵA,D [98%] CP,HF,RP,OC,TR || και δωσω αυτω B,C [0.5%] NU || δωσω (W) || two other variants
[20] και εμβαψας **f35** A(W) [99%] CP,HF,RP,OC,TR || ~ βαψας ουν ℵB,C [0.5%] NU || 1 βαψας D [0.5%] || 1 ψας P66
[21] ψωμιον **f35** P66 ℵA,D,W [98%] CP,HF,RP,OC,TR || 1 λαμβανει και B,C [2%] [NU]
[22] ισκαριωτη **f35** P66 A,W [98%] CP,HF,RP,OC,TR || ισκαριωτου ℵB,C [2%] NU || απο καρυωτου D
[23] δε **f35** P66 ℵA,C,D [99.5%] CP,HF,RP,OC,TR[NU] || --- B,W [0.5%]
[24] ο **f35** P66 C,D [95%] CP,HF,RP,OC,TR || --- ℵA,B,W [5%] NU
[25] ο **f35** P66 A,C,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- ℵB [0.5%]
[26] ευθεως εξηλθεν **f35** A [97%] CP,HF,RP,OC,TR || ~ 2 ευθυς P66 ℵB,C,D,W [1%] NU || ~ 2 ευθεως [2%]

31 Ὅτε[1] εξηλθεν, λεγει ὁ[2] Ιησους: "Νυν εδοξασθη ὁ Υἱος του Ανθρωπου, και ὁ Θεος
εδοξασθη εν αυτω. 32 Ει ὁ Θεος εδοξασθη εν αυτω,[3] και ὁ Θεος δοξασει αυτον εν ἑαυτω,[4]
και ευθυς δοξασει αυτον.

33 "Τεκνια, ετι μικρον μεθ' ὑμων ειμι. Ζητησετε με, και καθως ειπον τοις Ιουδαιοις
ὁτι 'Ὁπου ὑπαγω εγω,[5] ὑμεις ου δυνασθε ελθειν', και ὑμιν λεγω αρτι.

34 "Εντολην καινην διδωμι ὑμιν, ἱνα αγαπατε αλληλους καθως ηγαπησα ὑμας—ἱνα
και ὑμεις αγαπατε αλληλους. 35 Εν τουτω γνωσονται παντες ὁτι εμοι μαθηται εστε, εαν
αγαπην εχητε εν αλληλοις."

[Jesus warns Peter]

36 Λεγει αυτω Σιμων Πετρος, "Κυριε, που ὑπαγεις?" Απεκριθη αυτω[6] ὁ[7] Ιησους,
"'Ὁπου εγω[8] ὑπαγω ου δυνασαι μοι[9] νυν ακολουθησαι, ὑστερον δε ακολουθησεις μοι'."[10]
37 Λεγει αυτω[11] Πετρος: "Κυριε, δια τί ου δυναμαι σοι ακολουθησαι αρτι? Την ψυχην μου
ὑπερ σου θησω!" 38 Απεκριθη[12] αυτω[13] ὁ[14] Ιησους: "Την ψυχην σου ὑπερ εμου θησεις? Αμην,
αμην λεγω σοι, ου μη αλεκτωρ φωνηση[15] ἑως οὗ απαρνηση[16] με τρις!

*[The Way, the Truth, the Life]*

**14**.1 "Μη ταρασσεσθω ὑμων ἡ καρδια· πιστευετε εις τον Θεον και εις εμε πιστευετε.
2 Εν τη οικια του Πατρος μου μοναι πολλαι εισιν (ει δε μη, ειπον αν ὑμιν).[17] Πορευομαι
ἑτοιμασαι τοπον ὑμιν. 3 Και εαν πορευθω και ἑτοιμασω[18] ὑμιν τοπον,[19] παλιν ερχομαι και
παραληψομαι ὑμας προς εμαυτον, ἱνα ὁπου ειμι εγω και ὑμεις ητε. 4 Και ὁπου εγω[20] ὑπαγω
οιδατε, και την ὁδον οιδατε."[21]

[Thomas' question]

5 Λεγει αυτω Θωμας, "Κυριε, ουκ οιδαμεν που ὑπαγεις, και[22] πως δυναμεθα την
ὁδον ειδεναι?" 6 Λεγει αυτω ὁ[23] Ιησους: "Εγω ειμι ἡ ὁδος και ἡ αληθεια και ἡ ζωη. Ουδεις
ερχεται προς τον Πατερα ει μη δι' εμου. 7 Ει εγνωκειτε[24] με, και τον Πατερα μου εγνωκειτε
αν·[25] και απ' αρτι γινωσκετε αυτον και ἑωρακατε αυτον."

[Philip's question]

---

1 οτε **f35** A [75%] CP,HF,RP,TR || 1 ουν P66ℵB,C,D,W [25%] OC,NU
2 ο **f35** A,C,D,W [95%] CP,HF,RP,OC,TR || --- P66ℵB [5%] NU
3 ει ο θεος εδοξασθη εν αυτω **f35** A [98%] CP,HF,RP,OC,TR[NU] || --- P66ℵB,C,D,W [2%]
4 εαυτω **f35** A,C,D,W [99.5%] CP,HF,RP,OC,TR || αυτω P66ℵB [0.5%] NU
5 υπαγω εγω **f35** [80%] CP,HF,RP,OC,TR || ~ 21 ℵA,B,C,D [19.5%] NU || 1 P66W [0.5%]
6 αυτω **f35** P66ℵA,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- B,C [0.5%]
7 ο **f35** ℵ,D,W [99%] CP,HF,RP,OC,TR || --- P66A,B,C [1%] NU
8 εγω **f35** ℵ,D [45%] CP,OC || --- P66A,B,C,W [55%] HF,RP,TR,NU
9 μοι *rell* || με [1%] CP
10 υστερον δε ακολουθησεις μοι **f35** [97%] CP,HF,RP,OC,TR || ~ 1243 D || 123 A [1%] || ~ 321 P66ℵB,C,W [2%] NU
11 αυτω **f35** ℵA,C,D [80%] CP,HF,RP || 1 ο P66B,W [20%] OC,TR,NU
12 απεκριθη **f35** (D) [97%] CP,HF,RP,OC,TR || αποκρινεται P66ℵA(B)C,W [3%] NU
13 αυτω **f35** (D) [90%] CP,HF,RP,OC,TR || --- P66ℵA,B,C,W [10%] NU
14 ο **f35** W [98%] CP,HF,RP,OC,TR || --- P66ℵA,B,C,D [2%] NU
15 φωνηση **f35** P66ℵA,B,W [70%] CP,HF,RP,NU || φωνησει C,D [30%] OC,TR
16 απαρνηση **f35** ℵA,C(W) [99%] CP,HF,RP,OC,TR || αρνηση P66B,D [1%] NU
17 υμιν **f35** P66(N) [96%] CP,HF,RP,OC,TR || 1 οτι ℵA,B,C,D,W [4%] NU
18 και ετοιμασω **f35** P66ℵB,C,N [65%] CP,HF,OC,TR,NU || 2 A,W [15%] RP || ετοιμασαι D [20%]
19 υμιν τοπον **f35** P66A,C,W [90%] CP,HF,RP,OC,TR || ~ 21 ℵB,D,N [10%] NU
20 εγω **f35** ℵA,B,C,N,Q [97%] CP,HF,RP,OC,TR[NU] || --- P66D,W [3%]
21 και την οδον οιδατε **f35** P66A,D,N [99%] CP,HF,RP,OC,TR || 23 ℵB,C,Q,W [1%] NU
22 και **f35** ℵA,D,N,Q [99.5%] CP,HF,RP,OC,TR || --- P66B,C,W [0.5%] NU
23 ο **f35** A,B,C,D,N,Q,W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- P66ℵ [0.5%]
24 εγνωκειτε **f35** A,B,C,N,Q [99%] CP,HF,RP,OC,TR || εγνωκατε ℵD [0.5%] NU || εγνωκαται P66 || εγνωκεται W
25 εγνωκειτε αν **f35** A,N,Q [98%] CP,HF,RP,OC,TR || αν ηδειτε B,C [1.5%] || γνωσεσθε P66 [alone] NU || γνωσεσθαι ℵD,W [Poor NU!]

8 Λεγει αυτω Φιλιππος, "Κυριε, δειξον ἡμιν τον Πατερα και αρκει ἡμιν". 9 Λεγει αυτω ὁ Ιησους: "Τοσουτον χρονον[1] μεθ' ὑμων ειμι και ουκ εγνωκας με, Φιλιππε? Ὁ ἑωρακως εμε ἑωρακεν τον Πατερα· και[2] πως συ λεγεις, 'Δειξον ἡμιν τον Πατερα'? 10 Ου πιστευεις ὁτι εγω εν τω Πατρι και ὁ Πατηρ εν εμοι εστιν? Τα ῥηματα ἃ εγω λαλω[3] ὑμιν απ' εμαυτου ου λαλω· ὁ δε Πατηρ ὁ[4] εν εμοι μενων, αυτος ποιει τα εργα.[5] 11 Πιστευετε μοι ὁτι εγω εν τω Πατρι και ὁ Πατηρ εν εμοι·[6] ει δε μη, δια τα εργα αυτα πιστευετε μοι.[7]

*["Greater works than these"]*

12 "Αμην, αμην λεγω ὑμιν, ὁ πιστευων εις εμε, τα εργα ἃ εγω ποιω κακεινος ποιησει· και μειζονα τουτων ποιησει, ὁτι εγω προς τον Πατερα μου[8] πορευομαι. 13 Και, ὅ τι αν αιτησητε εν τω ονοματι μου, τουτο ποιησω, ἱνα δοξασθη ὁ Πατηρ εν τω Υἱω. 14 Εαν τι αιτησητε[9] εν τω ονοματι μου, εγω ποιησω! 15 Εαν αγαπατε με, τας εντολας τας εμας τηρησατε.[10] 16 Και, εγω[11] ερωτησω τον Πατερα και αλλον Παρακλητον δωσει ὑμιν, ἱνα μενη μεθ' ὑμων εις τον αιωνα[12] 17—το Πνευμα της Αληθειας, ὃ ὁ κοσμος ου δυναται λαβειν, ὁτι ου θεωρει αυτο ουδε γινωσκει αυτο·[13] ὑμεις δε[14] γινωσκετε αυτο, ὁτι παρ' ὑμιν μενει και εν ὑμιν εσται.

18 "Ουκ αφησω ὑμας ορφανους· ερχομαι προς ὑμας. 19 Ετι μικρον και ὁ κοσμος με ουκετι θεωρει, ὑμεις δε θεωρειτε με. Ὁτι εγω ζω, και ὑμεις ζησεσθε.[15] 20 Εν εκεινη τη ἡμερα γνωσεσθε ὑμεις ὁτι εγω εν τω Πατρι μου, και ὑμεις εν εμοι, καγω[16] εν ὑμιν. 21 Ὁ εχων τας εντολας μου και τηρων αυτας, εκεινος εστιν ὁ αγαπων με. Ὁ δε αγαπων με αγαπηθησεται ὑπο του Πατρος μου, και εγω[17] αγαπησω αυτον και εμφανισω αυτω εμαυτον."

[Judas' question]

22 Λεγει αυτω Ιουδας (ουχ ὁ Ισκαριωτης), "Κυριε, και[18] τί γεγονεν ὁτι ἡμιν μελλεις εμφανιζειν σεαυτον και ουχι τω κοσμω?" 23 Απεκριθη[19] Ιησους και ειπεν αυτω: "Εαν τις αγαπα με, τον λογον μου τηρησει. Και ὁ Πατηρ μου αγαπησει αυτον, και προς αυτον ελευσομεθα και μονην παρ' αυτω ποιησομεν.[20] 24 Ὁ μη αγαπων με, τους λογους μου ου τηρει· και, ὁ λογος ὃν ακουετε ουκ εστιν εμος, αλλα του πεμψαντος με Πατρος.

*[The Teacher, the peace; the Father, the enemy]*

25 "Ταυτα λελαληκα ὑμιν παρ' ὑμιν μενων. 26 Ὁ δε Παρακλητος, το Πνευμα το Ἁγιον, ὃ πεμψει ὁ Πατηρ εν τω ονοματι μου, εκεινος ὑμας διδαξει παντα και ὑπομνησει ὑμας παντα ἃ ειπον ὑμιν.[21]

---

1 τοσουτον χρονον **f35** P66A,B,N [99.5%] CP,HF,RP,OC,TR || τοσουτω χρονω ℵD,Q,W [0.5%] NU
2 και **f35** A,D,N [99.5%] CP,HF,RP,OC,TR || --- P66ℵB,Q,W [0.5%] NU
3 λαλω **f35** P66ℵA,Q,W [99%] CP,HF,RP,OC,TR || λεγω P75N [0.5%] NU || --- B || λελαληκα D
4 ο **f35** ℵA,D,N,Q,W [99.5%] CP,HF,RP,OC,TR || --- P66,75B [0.5%] NU
5 αυτος ποιει τα εργα **f35** A,Q [99%] CP,HF,RP,OC,TR || ~ 2341 P75W [0.5%] || ~ 234 αυτου P66ℵB,D [0.5%] NU
6 εμοι *rell* || 1 εστιν CP,some TRs
7 μοι **f35** A,B,Q [99%] CP,HF,RP,OC,TR || --- P66,75ℵD,W [1%] NU
8 μου **f35** [95%] CP,HF,RP,OC,TR || --- P66,75ℵA,B,D,Q,W [5%] NU
9 αιτησητε **f35** A,D,Q [80%] CP,HF,OC,TR || 1 με P66ℵB,W [19%] RP,NU || omit whole verse [1%]
10 τηρησατε **f35** A,D,Q,W [99%] CP,HF,RP,OC,TR || τηρησετε B [0.5%] NU || τηρησητε ℵ || τηρησηται P66
11 και εγω **f35** A,W [98%] CP,HF,RP,OC,TR || καγω P66ℵB,D,Q [2%] NU
12 μενει μεθ υμων εις τον αιωνα **f35** P66A,W [98%] CP,HF,RP,OC,TR || η 23456 Q [0.5%] || μενει 23456 [1%] || ~ 145623 D || ~ 23456 η P75B,NU || ~ 23 η 456 ℵ
13 αυτο **f35** A,Q [99.5%] CP,HF,RP,OC,TR || --- P66,75ℵB,W [0.5%] NU || αυτον D
14 δε **f35** A,D [99%] CP,HF,RP,OC,TR || --- P66,75ℵB,Q,W [1%] NU
15 ζησεσθε **f35** P66D,Q [99%] CP,HF,RP,OC,TR || ζησετε P75B,NU || ζησεσθαι ℵA,W [0.5%]
16 καγω **f35** P66,75ℵA,B,D,Q,W [80%] CP,HF,OC,TR,NU || και εγω [20%] RP
17 και εγω **f35** A,W [98%] CP,HF,RP,OC,TR || καγω P66,75ℵB,D,Q [2%] NU
18 και **f35** ℵQ,W [95%] CP,HF,RP,OC[NU] || --- P66,75A,B,D [5%] TR
19 απεκριθη *rell* || 1 ο [15%] TR
20 ποιησομεν **f35** A [91.5%] CP,HF,RP,OC,TR || ποιησομεθα P66,75ℵB,W [3%] NU || ποιησωμεν [5%] || ποιησωμεθα [0.5%] || ποιησομαι D
21 υμιν **f35** ℵA,D [99.5%] CP,HF,RP,OC,TR || 1 εγω B [0.5%] [NU]

27 "Ειρηνην αφιημι ὑμιν, ειρηνην την εμην διδωμι ὑμιν· ου καθως ὁ κοσμος
διδωσιν εγω διδωμι ὑμιν. Μη ταρασσεσθω ὑμων ἡ καρδια, μηδε δειλιατω.
28 "Ηκουσατε ὁτι εγω ειπον ὑμιν, "Υπαγω και ερχομαι προς ὑμας'. Ει ηγαπατε με,
εχαρητε αν ὁτι ειπον,[1] 'Πορευομαι προς τον Πατερα', ὁτι ὁ Πατηρ μου[2] μειζων μου εστιν.
29 Και νυν ειρηκα ὑμιν, πριν γενεσθαι, ἱνα ὁταν γενηται, πιστευσητε.
30 "Ουκετι πολλα λαλησω μεθ' ὑμων, ερχεται γαρ ὁ του κοσμου[3] αρχων· και, εν
εμοι ουκ εχει ουδεν. 31 Αλλ' ἱνα γνω ὁ κοσμος ὁτι αγαπω τον Πατερα, και καθως ενετει-
λατο μοι ὁ Πατηρ, οὑτως ποιω.
"Εγειρεσθε, αγωμεν εντευθεν.

*[The true vine]*

**15**.1 "Εγω ειμι ἡ αμπελος ἡ αληθινη, και ὁ Πατηρ μου ὁ γεωργος εστιν. 2 Παν
κλημα εν εμοι μη φερον καρπον, αιρει αυτο· και παν το καρπον φερον, καθαιρει αυτο, ἱνα
πλειονα καρπον[4] φερη. 3 Ηδη ὑμεις καθαροι εστε δια τον λογον ὁν λελαληκα ὑμιν. 4 Μει-
νατε εν εμοι, καγω εν ὑμιν. Καθως το κλημα ου δυναται καρπον φερειν αφ' ἑαυτου, εαν
μη μεινη[5] εν τη αμπελω, οὑτως[6] ουδε ὑμεις εαν μη εν εμοι μεινητε.[7]
5 "Εγω ειμι ἡ αμπελος, ὑμεις τα κληματα. Ὁ μενων εν εμοι καγω εν αυτω, οὑτος
φερει καρπον πολυν· ὁτι χωρις εμου ου δυνασθε ποιειν ουδεν. 6 Εαν μη τις μεινη[8] εν εμοι,
εβληθη εξω, ὡς το κλημα, και εξηρανθη· και συναγουσιν αυτα και εις το[9] πυρ βαλλουσιν,
και καιεται. 7 Εαν μεινητε εν εμοι και τα ῥηματα μου εν ὑμιν μεινη, ὁ εαν θελητε
αιτησεσθε,[10] και γενησεται ὑμιν. 8 Εν τουτω εδοξασθη ὁ Πατηρ μου: ἱνα καρπον πολυν
φερητε· και γενησεσθε[11] εμοι μαθηται.

*[We love]*

9 "Καθως ηγαπησεν με ὁ Πατηρ, καγω ηγαπησα ὑμας·[12] μεινατε εν τη αγαπη τη εμη.
10 Εαν τας εντολας μου τηρησητε, μενειτε εν τη αγαπη μου, καθως εγω τας εντολας του
Πατρος μου τετηρηκα και μένω[13] αυτου εν τη αγαπη. 11 Ταυτα λελαληκα ὑμιν ἱνα ἡ χαρα
ἡ εμη εν ὑμιν μεινη,[14] και ἡ χαρα ὑμων πληρωθη. 12 Αὑτη εστιν ἡ εντολη ἡ εμη, ἱνα αγα-
πατε αλληλους καθως ηγαπησα ὑμας. 13 Μειζονα ταυτης αγαπην ουδεις εχει, ἱνα τις την
ψυχην αυτου θη ὑπερ των φιλων αυτου. 14 Ὑμεις φιλοι μου εστε εαν ποιητε ὁσα[15] εγω
εντελλομαι ὑμιν.
15 "Ουκετι ὑμας λεγω[16] δουλους, ὁτι ὁ δουλος ουκ οιδεν τί ποιει αυτου ὁ κυριος·
ὑμας δε ειρηκα φιλους, ὁτι παντα ἁ ηκουσα παρα του Πατρος μου εγνωρισα ὑμιν. 16 Ουχ
ὑμεις με εξελεξασθε, αλλ' εγω εξελεξαμην ὑμας και εθηκα ὑμας ἱνα ὑμεις ὑπαγητε και καρπον
φερητε, και ὁ καρπος ὑμων μενη·[17] ἱνα ὅ τι αν αιτησητε τον Πατερα εν τω ονοματι μου
δωη[18] ὑμιν. 17 Ταυτα εντελλομαι ὑμιν, ἱνα αγαπατε αλληλους.

---

[1] ειπον **f³⁵** [90%] CP,HF,RP,OC,TR || --- ℵA,B,D [9%] NU || εγω [1%]
[2] μου **f³⁵** ℵ [98%] CP,HF,RP,OC,TR || --- A,B,D [2%] NU
[3] κοσμου *rell* || 1 τουτου [10%] TR
[4] πλειονα καρπον **f³⁵** A,D [98%] CP,HF,RP,OC,TR || ~ 21 B [2%] NU || ~ 2 πλειω ℵ
[5] μεινη **f³⁵** P⁶⁶A,D [99.5%] CP,HF,RP,OC,TR || μενη ℵB [0.5%] NU
[6] ουτως *rell* || ουτος CP
[7] μεινητε **f³⁵** D [99.5%] CP,HF,RP,OC,TR || μενητε ℵA,B [0.5%] NU || μενων P⁶⁶
[8] μεινη **f³⁵** [99%] CP,HF,RP,OC,TR || μενη P⁶⁶ℵA,B,D [1%] NU
[9] το *rell* || --- D [20%] TR
[10] αιτησεσθε **f³⁵** ℵ [85%] CP,HF,RP,TR || αιτησασθε B [10%] OC,NU || αιτησασθαι A,D [0.5%] || αιτησεσθαι [4.5%]
[11] γενησεσθε **f³⁵** [96%] CP,HF,RP,OC,TR || γενησθε B [3%] NU || γενησεσθαι ℵA [0.5%] || γενησθαι P⁶⁶ᵛD [0.5%]
[12] ηγαπησα υμας **f³⁵** P⁶⁶ℵA [98.5%] CP,HF,RP,OC,TR || ~ 21 B,D [1.5%] NU
[13] μένω *rell* || μενῶ [25%]
[14] μεινη **f³⁵** ℵ [98.5%] CP,HF,RP,OC,TR || η A,B,D [1.5%] NU
[15] οσα **f³⁵** A [97%] CP,HF,RP,OC,TR || α P⁶⁶ℵD [3%] NU || ο B
[16] υμας λεγω **f³⁵** D [99%] CP,HF,RP,OC,TR || ~ 21 P⁶⁶ℵA,B [1%] NU
[17] μενη *rell* || μεινη [10%] || μενει N [10%]
[18] δωη **f³⁵** N [47%] HF || δω A,B,D [50%] CP,RP,OC,TR,NU || δωσει ℵ [0.5%] || δωση [0.5%] || δωει [1%] || one other variant [1%]

*[The world hates]*

18 "Ει ὁ κοσμος ὑμας μισει, γινωσκετε ὁτι εμε πρωτον ὑμων μεμισηκεν. 19 Ει εκ
του κοσμου ητε, ὁ κοσμος αν το ιδιον εφιλει. Ὁτι δε εκ του κοσμου ουκ εστε, αλλ' εγω
εξελεξαμην ὑμας εκ του κοσμου, δια τουτο μισει ὑμας ὁ κοσμος. 20 Μνημονευετε του λογου
οὗ εγω ειπον ὑμιν, 'Ουκ εστιν δουλος μειζων του κυριου αυτου'. Ει εμε εδιωξαν, και ὑμας
διωξουσιν. Ει τον λογον μου ετηρησαν, και τον ὑμετερον τηρησουσιν. 21 Αλλα ταυτα παν-
τα ποιησουσιν ὑμιν[1] δια το ονομα μου, ὁτι ουκ οιδασιν τον πεμψαντα με. 22 Ει μη ηλθον
και ελαλησα αυτοις, ἁμαρτιαν ουκ ειχον,[2] νυν δε προφασιν ουκ εχουσιν περι της ἁμαρτιας
αυτων. 23 Ὁ εμε μισων και τον Πατερα μου μισει. 24 Ει τα εργα μη εποιησα εν αυτοις ἃ
ουδεις αλλος πεποιηκεν,[3] ἁμαρτιαν ουκ ειχον·[4] νυν δε και ἑωρακασιν και μεμισηκασιν και
εμε και τον Πατερα μου. 25 Αλλ' ἱνα πληρωθη ὁ λογος ὁ γεγραμμενος εν τω νομω αυτων[5]
ὁτι 'Εμισησαν με δωρεαν'.

26 "Ὁταν δε[6] ελθη ὁ Παρακλητος, ὃν εγω πεμψω ὑμιν παρα του Πατρος, το Πνευμα
της Αληθειας ὃ παρα του Πατρος εκπορευεται, εκεινος μαρτυρησει περι εμου. 27 Και ὑμεις
δε μαρτυρειτε, ὁτι απ' αρχης μετ' εμου εστε.

16.1 "Ταυτα λελαληκα ὑμιν ἱνα μη σκανδαλισθητε 2—αποσυναγωγους ποιησουσιν
ὑμας· αλλ' ερχεται ὡρα ἱνα πας ὁ αποκτεινας ὑμας δοξη λατρειαν προσφερειν τω Θεω!
3 Και ταυτα ποιησουσιν[7] ὁτι ουκ εγνωσαν τον Πατερα ουδε εμε. 4 Αλλα ταυτα λελαληκα
ὑμιν ἱνα ὁταν ελθη ἡ ὡρα,[8] μνημονευητε αυτων ὁτι εγω ειπον ὑμιν. Ταυτα δε ὑμιν εξ
αρχης ουκ ειπον ὁτι μεθ' ὑμων ημην.

*[What the Enabler will do]*

5 "Νυν δε ὑπαγω προς τον πεμψαντα με, και ουδεις εξ ὑμων ερωτα με, 'Που ὑπαγεις?'
6 Αλλ' ὁτι ταυτα λελαληκα ὑμιν, ἡ λυπη πεπληρωκεν ὑμων την καρδιαν. 7 Αλλ' εγω την
αληθειαν λεγω ὑμιν: Συμφερει ὑμιν ἱνα εγω απελθω· εαν γαρ εγω[9] μη απελθω, ὁ Παρα-
κλητος ουκ ελευσεται προς ὑμας· εαν δε πορευθω, πεμψω αυτον προς ὑμας.

8 "Και ελθων εκεινος ελεγξει τον κοσμον περι αμαρτιας και περι δικαιοσυνης και
περι κρισεως: 9 περι ἁμαρτιας μεν, ὁτι ου πιστευουσιν εις εμε· 10 περι δικαιοσυνης δε,
ὁτι προς τον Πατερα μου[10] ὑπαγω και ουκετι θεωρειτε με· 11 περι δε κρισεως, ὁτι ὁ αρχων
του κοσμου τουτου κεκριται.

12 "Ετι πολλα εχω λεγειν ὑμιν,[11] αλλ' ου δυνασθε βασταζειν αρτι. 13 Ὁταν δε ελθη
εκεινος, το Πνευμα της Αληθειας, ὁδηγησει ὑμας εις πασαν την αληθειαν·[12] ου γαρ λαλησει
αφ' ἑαυτου, αλλ' ὁσα αν[13] ακουση[14] λαλησει· και τα ερχομενα αναγγελει ὑμιν. 14 Εκεινος
εμε δοξασει, ὁτι εκ του εμου ληψεται[15] και αναγγελει ὑμιν. 15 Παντα ὁσα εχει ὁ Πατηρ
εμα εστιν· δια τουτο ειπον ὁτι εκ του εμου λαμβανει[16] και αναγγελει ὑμιν.

*[Sorrow to joy]*

---

1 υμιν **f**$^{35}$ A,N [98%] CP,HF,RP,OC,TR || εις υμας P$^{66}$B,D [2%] NU || --- א

2 ειχον **f**$^{35}$ A [99.5%] CP,HF,RP,OC,TR || ειχοσαν P$^{66}$אB,N [0.5%] NU || ειχαν D

3 πεποιηκεν **f**$^{35}$ [95%] CP,HF,RP,OC,TR || εποιησεν P$^{66}$אA,B,D [5%] NU

4 ειχον **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || ειχοσαν P$^{66}$אB [1%] NU || ειχαν D

5 γεγραμμενος εν τω νομω αυτων **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || ~23451 B,D [2%] NU || ~ 2341 P$^{66v}$ || ~ 23 κοσμω 51 א

6 δε **f**$^{35}$ A,D [99.5%] CP,HF,RP,OC,TR || --- P$^{22}$אB [0.5%] NU

7 ποιησουσιν **f**$^{35}$ A,B [85%] CP,HF,RP,OC,NU || 1 υμιν אD [15%] TR

8 ωρα **f**$^{35}$ אD [90%] CP,HF,RP,OC,TR || 1 αυτων A,B [10%] NU

9 εγω **f**$^{35}$ A [98%] CP,HF,RP,OC || --- אB,D [2%] TR,NU

10 μου **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || --- אB,D,W [1%] NU

11 λεγειν υμιν **f**$^{35}$ A,D,W [99%] CP,HF,RP,OC,TR || ~ 21 אB [1%] NU

12 εις πασαν την αληθειαν **f**$^{35}$ [98%] CP,HF,RP,OC,TR || ~ 1342 A,B || εν τη αληθεια παση (-π. א) (א)D,W [2%] NU

13 αν **f**$^{35}$ [97%] CP,HF,RP,OC,TR || εαν A [1%] || --- אB,D,W [2%] NU

14 ακουση **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || ακουσει B,D,W [2.5%] NU || ακουει א [0.5%]

15 ληψεται **f**$^{35}$ [99.5%] CP,HF,RP,OC,TR || λημψεται אA,B,D,W [0.5%] NU

16 λαμβανει **f**$^{35}$ B,D,N,W [80%] CP,HF,RP,NU || ληψεται (A) [20%] OC,TR || P$^{66}$א omit whole verse

16 "Μικρον και ου[1] θεωρειτε με, και παλιν μικρον και οψεσθε με, ὅτι ὑπαγω προς
τον Πατερα."[2] 17 Ειπον[3] ουν εκ των μαθητων αυτου προς αλληλους: "Τί εστιν τουτο ὃ
λεγει ἡμιν, 'Μικρον και ου θεωρειτε με, και παλιν μικρον και οψεσθε με', και ὅτι 'Εγω[4]
ὑπαγω προς τον Πατερα'?" 18 Ελεγον ουν: "Τουτο τί εστιν[5] ὃ λεγει,[6] 'το μικρον'? Ουκ
οιδαμεν τί λαλει."

19 Εγνω ουν[7] ὁ[8] Ιησους ὅτι ηθελον αυτον ερωταν, και ειπεν αυτοις: "Περι τουτου
ζητειτε μετ' αλληλων ὅτι ειπον, 'Μικρον και ου θεωρειτε με, και παλιν μικρον και οψεσθε
με'? 20 Αμην, αμην λεγω ὑμιν ὅτι κλαυσετε και θρηνησετε ὑμεις, ὁ δε κοσμος χαρησεται·
ὑμεις δε[9] λυπηθησεσθε, αλλ' ἡ λυπη ὑμων εις χαραν γενησεται. 21 Ἡ γυνη ὅταν τικτη[10]
λυπην εχει, ὅτι ηλθεν ἡ ὥρα αυτης· ὅταν δε γεννηση το παιδιον, ουκετι μνημονευει της
θλιψεως, δια την χαραν ὅτι εγεννηθη ανθρωπος εις τον κοσμον. 22 Και ὑμεις ουν λυπην
μεν νυν[11] εχετε· παλιν δε οψομαι ὑμας, και χαρησεται ὑμων ἡ καρδια, και την χαραν ὑμων
ουδεις αιρει αφ' ὑμων. 23 Και εν εκεινη τη ἡμερα εμε ουκ ερωτησετε ουδεν.

"Αμην, αμην λεγω ὑμιν ὅτι ὅσα αν[12] αιτησητε τον Πατερα εν τω ονοματι μου δωσει
ὑμιν. 24 Ἑως αρτι ουκ ητησατε ουδεν εν τω ονοματι μου. Αιτειτε και ληψεσθε,[13] ἵνα ἡ
χαρα ὑμων ᾖ πεπληρωμενη.

[Figures of speech]

25 "Ταυτα εν παροιμιαις λελαληκα ὑμιν, αλλ'[14] ερχεται ὥρα ὅτε ουκετι εν παροι-
μιαις λαλησω ὑμιν, αλλα παρρησια περι του Πατρος αναγγελω[15] ὑμιν. 26 Εν εκεινη τη
ἡμερα εν τω ονοματι μου αιτησεσθε, και ου λεγω ὑμιν ὅτι εγω ερωτησω τον Πατερα περι
ὑμων· 27 αυτος γαρ ὁ Πατηρ φιλει ὑμας, ὅτι ὑμεις εμε πεφιληκατε, και πεπιστευκατε ὅτι
εγω παρα του[16] Θεου εξηλθον. 28 Εξηλθον παρα του Πατρος και εληλυθα εις τον κοσμον.
Παλιν αφιημι τον κοσμον και πορευομαι προς τον Πατερα."

29 Λεγουσιν αυτω οἱ μαθηται αυτου:[17] "Ιδε, νυν[18] παρρησια λαλεις και παροιμιαν
ουδεμιαν λεγεις! 30 Νυν οιδαμεν ὅτι οιδας παντα και ου χρειαν εχεις ἵνα τίς σε ερωτα.
Εν τουτω πιστευομεν ὅτι απο Θεου εξηλθες."

["Take heart!"]

31 Απεκριθη αυτοις ὁ[19] Ιησους: "Αρτι πιστευετε? 32 Ιδου, ερχεται ὥρα και νυν[20]
εληλυθεν, ἵνα σκορπισθητε ἑκαστος εις τα ιδια, και εμε[21] μονον αφητε. Και ουκ ειμι μονος,

---

[1] ου **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || ουκετι P$^{66v}$ℵB,D,N,W [2%] NU
[2] οτι υπαγω προς τον πατερα **f**$^{35}$ A,N [79.5%] CP,HF,RP || 1 εγω 2345 [20%] OC,TR || --- P$^{66}$ℵB,D,W [0.5%] NU
[3] ειπον **f**$^{35}$ ℵA,D,N [99.5%] CP,HF,RP,OC,TR || ειπαν P$^{66}$B,W [0.5%] NU
[4] εγω **f**$^{35}$ D,W [90%] CP,HF,RP,OC,TR || --- ℵA,B,N [10%] NU
[5] τουτο τι εστιν **f**$^{35}$ A,N [97%] CP,HF,RP,OC,TR || ~ 231 P$^{66}$ℵB,D,W [3%] NU
[6] ο λεγει **f**$^{35}$ B,N [97.5%] CP,HF,RP,OC,TR[NU] || το 2 A || --- P$^{66}$ℵD,W [2.5%]
[7] ουν **f**$^{35}$ A,N [96%] CP,HF,RP,OC,TR || --- P$^{5}$ℵB,D,W [1%] NU || δε [3%]
[8] ο **f**$^{35}$ ℵAD,N [99.5%] CP,HF,RP,OC,TR[NU] || --- P$^{5}$B,W [0.5%]
[9] δε **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,OC,TR || --- P$^{5}$ℵB,D [0.5%] NU
[10] τικτη *rell* || τικτει [10%] || τικτι N
[11] ουν λυπην μεν νυν **f**$^{35}$ A(N) [96%] CP,HF,RP,OC,TR || ~ 1432 P$^{5v,22v,66}$B,C,D,W [3%] NU || ~ 4312 ℵ || four other variants
[12] οτι οσα αν **f**$^{35}$ [96%] CP,HF,RP,OC,TR || 12 εαν [1%] || 13 A,W || 1 ο 3 ℵ || 1 ο εαν [2%] || ο εαν N || 3 τι P$^{5}$B,C [0.5%] NU || εαν τι (P$^{22}$)D
[13] ληψεσθε **f**$^{35}$ C [99%] CP,HF,RP,OC,TR || λημψεσθε P$^{5}$ℵA,B,D [0.5%] NU || λημψεσθαι N,W [0.5%]
[14] αλλ **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || --- ℵB,C,D,W [1%] NU
[15] αναγγελω **f**$^{35}$ N [98%] CP,HF,RP,OC,TR || απαγγελω P$^{5v,66}$A,B,C,D,W [2%] NU || απαγγελλω ℵ
[16] του **f**$^{35}$ B,C,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- P$^{5}$ℵA,N [0.5%]
[17] αυτω οι μαθηται αυτου **f**$^{35}$ A,D [98.5%] CP,HF,RP,OC,TR || 234 B,C,N [1%] NU || ~ 231 ℵ || 123 W
[18] νυν **f**$^{35}$ A,N [99.5%] CP,HF,RP,OC,TR || 1 εν ℵB,C,D,W [0.5%] NU
[19] ο **f**$^{35}$ ℵA,D,N [99.5%] CP,HF,RP,OC,TR || --- P$^{22,66}$B,C,W [0.5%] NU
[20] νυν **f**$^{35}$ N [99%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵA,B,C,D,W [1%] NU
[21] και εμε **f**$^{35}$ A,D,W [98%] CP,HF,RP,OC,TR || καμε P$^{22,66}$ℵB,C,N [2%] NU

ὁτι ὁ Πατηρ μετ’ εμου εστιν. 33 Ταυτα λελαληκα ὑμιν ἱνα εν εμοι ειρηνην εχητε. Εν τω
κοσμω θλιψιν εχετε·[1] αλλα θαρσειτε, εγω νενικηκα τον κοσμον!”

*[Jesus prays]*

**17**.1 Ταυτα ελαλησεν ὁ[2] Ιησους και επηρεν[3] τους οφθαλμους αυτου εις τον ουρανον
και[4] ειπεν:

[For Himself]

“Πατερ, εληλυθεν ἡ ὡρα! Δοξασον σου τον Υἱον, ἱνα και[5] ὁ Υἱος σου[6] δοξαση σε,
2 καθως εδωκας αυτω εξουσιαν πασης σαρκος, ἱνα παν ὃ δεδωκας αυτω δωσει[7] αυτοις ζωην
αιωνιον. 3 Αὑτη δε εστιν ἡ αιωνιος ζωη: ἱνα γινωσκωσιν σε, τον μονον αληθινον Θεον,
και ὃν απεστειλας—Ιησουν Χριστον. 4 Εγω σε εδοξασα επι της γης. Το εργον ετελειωσα[8]
ὃ δεδωκας μοι ἱνα ποιησω. 5 Και νυν δοξασον με συ, Πατερ, παρα σεαυτω τη δοξη ᾗ ειχον
προ του τον κοσμον ειναι παρα σοι!

[For the Apostles]

6 “Εφανερωσα σου το ονομα τοις ανθρωποις οὓς δεδωκας[9] μοι εκ του κοσμου. Σοι
ησαν, και εμοι[10] αυτους δεδωκας,[11] και τον λογον σου τετηρηκασιν.[12] 7 Νυν εγνωκαν[13] ὁτι
παντα ὁσα δεδωκας μοι παρα σου εστιν·[14] 8 ὁτι τα ῥηματα ἃ δεδωκας[15] μοι δεδωκα αυτοις·
και αυτοι ελαβον και εγνωσαν αληθως ὁτι παρα σου εξηλθον, και επιστευσαν ὁτι συ με
απεστειλας. 9 Εγω περι αὐτων ερωτω. Ου περι του κοσμου ερωτω αλλα περι ὧν δεδωκας
μοι, ὁτι σοι εισιν. 10 Και, τα εμα παντα σα εστιν, και τα σα εμα, και δεδοξασμαι εν
αυτοις. 11 Και ουκετι ειμι εν τω κοσμω, και οὑτοι[16] εν τω κοσμω εισιν, και εγω[17] προς
σε ερχομαι.

“Πατερ Ἁγιε, τηρησον αυτους εν τω ονοματι σου ᾧ[18] δεδωκας μοι, ἱνα ωσιν ἑν
καθως ἡμεις. 12 Ὁτε ημην μετ’ αυτων εν τω κοσμω,[19] εγω ετηρουν αυτους εν τω ονοματι
σου. Οὓς[20] δεδωκας μοι[21] εφυλαξα, και ουδεις εξ αυτων απωλετο ει μη ὁ υἱος της απωλειας,
ἱνα ἡ Γραφη πληρωθη. 13 Νυν δε προς σε ερχομαι, και ταυτα λαλω εν τω κοσμω ἱνα
εχωσιν την χαραν την εμην πεπληρωμενην εν αυτοις.[22]

14 “Εγω δεδωκα αυτοις τον λογον σου· και ὁ κοσμος εμισησεν αυτους ὁτι ουκ εισιν
εκ του κοσμου, καθως εγω ουκ ειμι εκ του κοσμου. 15 Ουκ ερωτω ἱνα αρης αυτους εκ του
κοσμου, αλλ’ ἱνα τηρησης αυτους εκ του πονηρου. 16 Εκ του κοσμου ουκ εισιν, καθως εγω

---

[1] εχετε **f**$^{35}$ ℵA,B,C [90%] CP,HF,RP,NU || εξετε D [8.5%] OC,TR || εξεται [1%] || εχεται N || omit whole clause P$^{66}$ [0.5%]

[2] ο **f**$^{35}$ A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR || --- ℵB [0.5%] NU

[3] επηρεν **f**$^{35}$ A,N [97%] CP,HF,RP,OC,TR || επαρας P$^{66}$ℵB,C,D,W [3%] NU

[4] και **f**$^{35}$ A,N [95%] CP,HF,RP,OC,TR || --- ℵB,C,D,W [5%] NU

[5] και **f**$^{35}$ N [98%] CP,HF,RP,OC,TR || --- ℵA,B,C,D,W [2%] NU

[6] σου **f**$^{35}$ A,D,N [99.5%] CP,HF,RP,OC,TR || --- ℵB,C,W [0.5%] NU

[7] δωσει **f**$^{35}$ B,N [90%] CP,HF,RP,OC || δωση A,C [10%] TR,NU || δωσω ℵ || δως P$^{107}$W || εχη D

[8] ετελειωσα **f**$^{35}$ D [98%] CP,HF,RP,OC,TR || τελειωσας P$^{66}$ℵA,B,C,N,W [2%] NU

[9] δεδωκας **f**$^{35}$ C [98%] CP,HF,RP,OC,TR || εδωκας ℵA,B,D,N,W [2%] NU

[10] και εμοι **f**$^{35}$ ℵA,C,D,N,W [99%] CP,HF,RP,OC,TR || καμοι B [1%] NU

[11] δεδωκας **f**$^{35}$ C,N [96%] CP,HF,RP,OC,TR || εδωκας P$^{66}$ℵA,B,D,W [4%] NU

[12] τετηρηκασιν **f**$^{35}$ A,C [99%] CP,HF,RP,OC,TR || τετηρηκαν B,D,W [0.5%] NU || ετηρησαν ℵN [0.5%]

[13] εγνωκαν *rell* || εγνωσαν [15%] || εγνωκα W [0.5%] || εγνων ℵ

[14] εστιν **f**$^{35}$ A,D [99%] CP,HF,RP,OC,TR || εισιν ℵB,C(N)W [1%] NU

[15] δεδωκας **f**$^{35}$ ℵN [99%] CP,HF,RP,OC,TR || εδωκας A,C,D,W [0.5%] NU || εδωκες B || --- [0.5%]

[16] ουτοι **f**$^{35}$ A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR || αυτοι ℵB [0.5%] NU

[17] και εγω **f**$^{35}$ P$^{66v}$A,N,W [98.5%] CP,HF,RP,OC,TR || καγω ℵB,C,D [1.5%] NU

[18] ω *rell* || ους (N) [20%] TR || ο D [1%]

[19] εν τω κοσμω **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵB,C,D,W [1%] NU

[20] ους **f**$^{35}$ A,D(N) [99.5%] CP,HF,RP,OC,TR || ω B,C,W [0.5%] NU || --- (P$^{66}$ℵ)

[21] μοι **f**$^{35}$ A,D,N [99.5%] CP,HF,RP,OC,TR || 1 και B,C,W [0.5%] NU || και P$^{66}$ℵ

[22] αυτοις **f**$^{35}$ P$^{66}$ℵD [99%] CP,HF,RP,OC,TR || εαυτοις A,B,N,W [1%] NU || ταις καρδιαις εαυτων C

εκ του κοσμου ουκ ειμι.[1] 17 Ἁγιασον αυτους εν τη αληθεια σου·[2] ὁ λογος ὁ σος αληθεια
εστιν. 18 Καθως εμε απεστειλας εις τον κοσμον, καγω απεστειλα αυτους εις τον κοσμον.
19 Και ὑπερ αυτων εγω ἁγιαζω εμαυτον, ἱνα και αυτοι ωσιν[3] ἡγιασμενοι εν αληθεια.

[For all believers]

20 “Οὐ περι τουτων δε ερωτω μονον, αλλα και περι των πιστευοντων[4] δια του
λογου αυτων εις εμε· 21 ἱνα παντες ἑν ωσιν, καθως συ, Πατερ, εν εμοι καγω εν σοι· ἱνα
και αυτοι εν ἡμιν ἑν[5] ωσιν, ἱνα ὁ κοσμος πιστευση[6] ὁτι συ με απεστειλας. 22 Και εγω[7]
την δοξαν ἣν δεδωκας μοι δεδωκα αυτοις, ἱνα ωσιν ἑν καθως ἡμεις ἑν εσμεν:[8] 23 εγω εν
αυτοις και συ εν εμοι, ἱνα ωσιν τετελειωμενοι εις ἑν· και ἱνα[9] γινωσκη ὁ κοσμος ὁτι συ
με απεστειλας και ηγαπησας αυτους καθως εμε ηγαπησας.

24 “Πατερ, οὓς[10] δεδωκας μοι, θελω ἱνα ὁπου ειμι εγω κακεινοι ωσιν μετ᾽ εμου,
ἱνα θεωρωσιν την δοξαν την εμην, ἣν δεδωκας[11] μοι, ὁτι ηγαπησας με προ καταβολης
κοσμου. 25 Πατερ δικαιε, και ὁ κοσμος σε ουκ εγνω, εγω δε σε εγνων· και οὑτοι εγνωσαν
ὁτι συ με απεστειλας. 26 Και, εγνωρισα αυτοις το ονομα σου και γνωρισω, ἱνα ἡ αγαπη
ἣν ηγαπησας με εν αυτοις ᾖ, καγω εν αυτοις.”

*[Betrayal and arrest]*

**18.**1 Ταυτα ειπων ὁ[12] Ιησους εξηλθεν συν τοις μαθηταις αυτου περαν του χειμαρρου
των Κεδρων,[13] ὁπου ἦν κηπος εις ὃν εισηλθεν αυτος και οἱ μαθηται αυτου. 2 Ηδει δε και
Ιουδας, ὁ παραδιδους αυτον, τον τοπον· ὁτι πολλακις συνηχθη[14] ὁ[15] Ιησους εκει μετα των
μαθητων αυτου. 3 Ὁ ουν Ιουδας, λαβων την σπειραν, και εκ των αρχιερεων και[16] Φαρισαιων
ὑπηρετας, ερχεται εκει μετα φανων και λαμπαδων και ὁπλων.

[Jesus knocks the soldiers down with His word]

4 Ιησους ουν, ειδως παντα τα ερχομενα επ᾽ αυτον, εξελθων ειπεν[17] αυτοις, “Τίνα
ζητειτε?” 5 Απεκριθησαν αυτω, “Ιησουν τον Ναζωραιον”. Λεγει αυτοις ὁ Ιησους, “Εγω
ειμι”.[18] (Εἱστηκει δε και Ιουδας, ὁ παραδιδους αυτον, μετ᾽ αυτων.) 6 Ὡς ουν ειπεν αυτοις
ὁτι[19] “Εγω ειμι”, απηλθον εις τα οπισω και επεσον[20] χαμαι. 7 Παλιν ουν αυτους επηρω-
τησεν,[21] “Τίνα ζητειτε?” Οἱ δε ειπον,[22] “Ιησουν τον Ναζωραιον”. 8 Απεκριθη[23] Ιησους:
“Ειπον ὑμιν ὁτι εγω ειμι. Ει ουν εμε ζητειτε, αφετε τουτους ὑπαγειν” 9 (ἱνα πληρωθη ὁ
λογος ὃν ειπεν ὁτι “Οὓς δεδωκας μοι ουκ απωλεσα εξ αυτων ουδενα”).

---

[1] εκ του κοσμου ουκ ειμι **f**$^{35}$ $P^{66}$N [99%] CP,HF,RP,OC,TR || ~ 45123 ℵA,B,C,D,W [1%] NU
[2] σου **f**$^{35}$ N [99%] CP,HF,RP,OC,TR || --- $P^{66}$A,B,C,D,W [1%] NU || ℵ omits six words [homoioteleuton]
[3] και αυτοι ωσιν **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || ~ 312 ℵA,B,C,D,N,W [10%] NU || ~ 32 $P^{66v}$
[4] πιστευοντων *rell* || πιστευσοντων [5%] TR
[5] εν **f**$^{35}$ ℵA,N [99.5%] CP,HF,RP,OC,TR || --- $P^{66v}$B,C,D,W [0.5%] NU
[6] πιστευση **f**$^{35}$ A,D,N [99.5%] CP,HF,RP,OC,TR || πιστευη $P^{66}$ℵB,C,W [0.5%] NU
[7] και εγω **f**$^{35}$ A,N [97%] CP,HF,RP,OC,TR || καγω $P^{66}$ℵB,C,D,W [3%] NU
[8] εν εσμεν **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || 1 $P^{66}$B,C,D,W [1%] NU || --- ℵ
[9] και ινα **f**$^{35}$ A,N [98.5%] CP,HF,RP,OC,TR || 2 B,C,D [1%] NU || 1 $P^{66}$ℵW [0.5%]
[10] ους **f**$^{35}$ A,C,N [99.5%] CP,HF,RP,OC,TR || ο ℵB,D,W [0.5%] NU
[11] δεδωκας **f**$^{35}$ ℵA,C,D,W [60%] CP,OC,NU || εδωκας $P^{108}$B,N [40%] HF,RP,TR
[12] ο **f**$^{35}$ A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR || --- ($P^{66}$)ℵB [0.5%] NU
[13] των κεδρων **f**$^{35}$ B,C,N [97%] CP,HF,RP,OC,TR || του 2 A [3%] NU || του κεδρου ℵD,W
[14] συνηχθη **f**$^{35}$ ℵA,B,C,D,N,W [70%] CP,RP,TR,NU || 1 και [30%] HF,OC
[15] ο **f**$^{35}$ A,C(D)N,W [99.5%] CP,HF,RP,OC,TR || --- ℵB [0.5%] NU
[16] και **f**$^{35}$ $P^{108v}$A,C,N,W [99.5%] CP,HF,RP,OC,TR || 1 εκ των ℵD [0.5%] NU || 1 των B
[17] εξελθων ειπεν **f**$^{35}$ ℵA,N,W [99%] CP,HF,RP,OC,TR || εξηλθεν και λεγει B,C,D [1%] NU
[18] ο ιησους εγω ειμι **f**$^{35}$ A,C(N)W [99.5%] CP,HF,RP,OC,TR || 234 ℵ || ~ 342 B || 34 D,NU
[19] οτι **f**$^{35}$ C [97%] CP,HF,RP,OC,TR || --- ℵA,B,D,N,W [3%] NU
[20] επεσον **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || επεσαν ℵB,C,D,W [1%] NU
[21] αυτους επηρωτησεν **f**$^{35}$ ℵD,N,W [98%] CP,HF,RP,OC,TR || ~ 21 A,B,C [2%] NU
[22] ειπον **f**$^{35}$ ℵA,B,C,N,W [99.8%] CP,HF,RP,OC,TR || ειπαν $P^{66}$D,NU
[23] απεκριθη *rell* || 1 ο (D)N [5%] TR

10 Σιμων ουν Πετρος, εχων μαχαιραν, εἷλκυσεν αυτην και επαισεν τον του αρχιε-
ρεως δουλον και απεκοψεν αυτου το ωτιον[1] το δεξιον. (Ἦν δε ονομα τω δουλω Μαλχος.)
11 Ειπεν ουν ὁ Ιησους τω Πετρω: "Βαλε την μαχαιραν[2] εις την θηκην! Το ποτηριον ὃ
δεδωκεν μοι ὁ Πατηρ, ου μη πιω αυτο?"

[To Annas first]

12 Ἡ ουν σπειρα και ὁ χιλιαρχος και οἱ ὑπηρεται των Ιουδαιων συνελαβον τον
Ιησουν και εδησαν αυτον. 13 Και απηγαγον αυτον[3] προς Ἀνναν πρωτον, ἦν γαρ πενθερος
του Καιαφα, ὃς ἦν αρχιερευς του ενιαυτου εκεινου. 14 (Ἦν δε Καιαφας ὁ συμβουλευσας
τοις Ιουδαιοις ὅτι συμφερει ἑνα ανθρωπον απολεσθαι[4] ὑπερ του λαου.)

*[Peter denies Jesus]*

15 Ηκολουθει δε τω Ιησου Σιμων Πετρος, και ὁ[5] αλλος μαθητης. Ὁ δε μαθητης
εκεινος ἦν γνωστος τω αρχιερει, και συνεισηλθεν τω Ιησου εις την αυλην του αρχιερεως.
16 Ὁ δε Πετρος εἱστηκει προς τη θυρα εξω. Εξηλθεν ουν ὁ μαθητης ὁ αλλος, ὃς ἦν[6] γνωστος
τω αρχιερει,[7] και ειπεν τη θυρωρω, και εισηγαγεν τον Πετρον. 17 Λεγει ουν ἡ παιδισκη,
ἡ θυρωρος, τω Πετρω,[8] "Μη και συ εκ των μαθητων εἶ του ανθρωπου τουτου?" Λεγει εκει-
νος, "Ουκ ειμι!" 18 Εἱστηκεισαν δε οἱ δουλοι και οἱ ὑπηρεται ανθρακιαν πεποιηκοτες, ὅτι
ψυχος ἦν, και εθερμαινοντο. Ἦν δε μετ' αυτων ὁ Πετρος[9] ἑστως και θερμαινομενος.

[Caiaphas interrogates Jesus]

19 Ὁ ουν αρχιερευς ηρωτησεν τον Ιησουν περι των μαθητων αυτου και περι της
διδαχης αυτου. 20 Απεκριθη αυτω ὁ Ιησους:[10] "Εγω παρρησια ελαλησα[11] τω κοσμω. Εγω
παντοτε εδιδαξα εν[12] συναγωγη και εν τω ἱερω, ὁπου παντοτε[13] οἱ Ιουδαιοι συνερχονται,
και εν κρυπτω ελαλησα ουδεν. 21 Τί με επερωτας?[14] Επερωτησον[15] τους ακηκοοτας τί ελαλη-
σα αυτοις. Ιδε, οὗτοι οιδασιν ἃ ειπον εγω." 22 Ταυτα δε αυτου ειποντος, εἱς των ὑπηρετων
παρεστηκως[16] εδωκεν ῥαπισμα τω Ιησου, ειπων, "Οὑτως αποκρινη τω αρχιερει?" 23 Απεκρι-
θη αυτω ὁ Ιησους,[17] "Ει κακως ελαλησα, μαρτυρησον περι του κακου· ει δε καλως, τί με
δαιρεις?"[18] 24 (Απεστειλεν[19] αυτον ὁ Ἀννας δεδεμενον προς Καιαφαν τον αρχιερεα.)

[Peter again]

25 Ἦν δε Σιμων Πετρος ἑστως και θερμαινομενος. Ειπον ουν αυτω, "Μη και συ
εκ των μαθητων αυτου ει?" Ηρνησατο ουν[20] εκεινος και ειπεν, "Ουκ ειμι!" 26 Λεγει εἱς
εκ των δουλων του αρχιερεως, συγγενης ων οὗ απεκοψεν Πετρος το ωτιον, "Ουκ εγω σε

---

[1] ωτιον **f**$^{35}$ A,D,N [99.5%] CP,HF,RP,OC,TR || ωταριον ℵB,C,W [0.5%] NU
[2] μαχαιραν **f**$^{35}$ P$^{66}$ℵA,B,C,D,N,W [40%] CP,OC,NU || 1 σου [60%] HF,RP,TR
[3] απηγαγον αυτον **f**$^{35}$ A [98.5%] CP,HF,RP,OC,TR || 1 C,N [0.5%] || ηγαγον P$^{66}$ℵB,D,W [0.5%] NU || ηγαγον 2 [0.5%]
[4] απολεσθαι **f**$^{35}$ A,N [97%] CP,HF,RP,OC,TR || αποθανειν P$^{66}$ℵB,C,W [3%] NU
[5] ο **f**$^{35}$ C,N [99.5%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵA,B,W [0.5%] NU
[6] ος ην **f**$^{35}$ P$^{66v}$ℵA(N)W [99.5%] CP,HF,RP,OC,TR || ο B,C [0.5%] NU
[7] τω αρχιερει **f**$^{35}$ ℵA,N,W [99.5%] CP,HF,RP,OC,TR || του αρχιερεως P$^{66v}$B,C [0.5%] NU
[8] η παιδισκη η θυρωρος τω πετρω **f**$^{35}$ P$^{66}$ℵA,N(W) [99.5%] CP,HF,RP,OC,TR || ~ 561234 B,C [0.5%] NU
[9] μετ αυτων ο πετρος **f**$^{35}$ A,N [97%] CP,HF,RP,OC,TR || ~ και 3412 P$^{66v}$ℵB,C(W) [2%] NU || 12 και 34 [1%]
[10] αυτω ο ιησους **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,OC,TR || 13 P$^{66}$B [0.5%] NU || ~ 31 ℵ || 23 C
[11] ελαλησα **f**$^{35}$ P$^{66}$W [97%] CP,HF,RP,OC,TR || λελαληκα ℵA,B,C,N [3%] NU
[12] εν **f**$^{35}$ ℵA,B,C,N,W [95%] HF,RP,OC,NU || 1 τη [5%] CP,TR
[13] παντοτε **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || παντες ℵA,B,C,N,W [10%] NU
[14] επερωτας **f**$^{35}$ N [99%] CP,HF,RP,OC,TR || ερωτας ℵA,B,C,W [1%] NU
[15] επερωτησον **f**$^{35}$ A,N [97%] CP,HF,RP,OC,TR || ερωτησον P$^{66v}$ℵB,C [3%] NU
[16] των υπηρετων παρεστηκως **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || ~ 312 ℵB,W,NU || ~ 1 παρεστωτων 2 C [0.5%] || four other variants
[17] απεκριθη αυτω ο ιησους **f**$^{35}$ A,N [98.5%] CP,HF,RP,OC,TR || 124 B,C [0.5%] NU || ~ 3 δε 4 ειπεν 2 ℵW [1%]
[18] δαιρεις **f**$^{35}$ [30%] || δερεις P$^{66}$ℵA,B,C,W [70%] CP,HF,RP,OC,TR,NU || δερις N
[19] απεστειλεν **f**$^{35}$ A [90%] CP,HF,RP,OC,TR || 1 ουν B,C(N)W [9%] NU,some TRs || 1 δε ℵ [1%]
[20] ουν **f**$^{35}$ [90%] CP,HF,RP,OC || --- ℵA,B,C,N,W [10%] TR,NU

ειδον εν τω κηπω μετ' αυτου?" 27 Παλιν ουν ηρνησατο ὁ[1] Πετρος, και ευθεως αλεκτωρ
εφωνησεν.

## [Crucifixion day]

### *[Jesus taken to Pilate]*

**18**.28 Αγουσιν ουν[2] τον Ιησουν απο του Καιαφα εις το πραιτωριον, ἦν δε πρωι.[3] Και
αυτοι ουκ εισηλθον εις το πραιτωριον, ἵνα μη μιανθωσιν, αλλ' ἵνα[4] φαγωσιν το Πασχα.
29 Εξηλθεν ουν ὁ Πιλατος προς αυτους[5] και ειπεν,[6] "Τίνα κατηγοριαν φερετε κατα[7] του
ανθρωπου τουτου?" 30 Απεκριθησαν και ειπον[8] αυτω, "Ει μη ἦν οὗτος κακοποιος,[9] ουκ αν
σοι παρεδωκαμεν αυτον". 31 Ειπεν ουν αυτοις ὁ Πιλατος, "Λαβετε αυτον ὑμεις και κατα
τον νομον ὑμων κρινατε αυτον". Ειπον ουν[10] αυτω οἱ Ιουδαιοι, "'Ημιν ουκ εξεστιν αποκ-
τειναι ουδενα" 32 (ἵνα ὁ λογος του Ιησου πληρωθη, ὃν ειπεν, σημαινων ποιω θανατω
εμελλεν[11] αποθνησκειν).

### *[Pilate and Jesus]*

33 Εισηλθεν ουν εις το πραιτωριον παλιν[12] ὁ Πιλατος και εφωνησεν τον Ιησουν
και ειπεν αυτω, "Συ εἶ ὁ Βασιλευς των Ιουδαιων?" 34 Απεκριθη αυτω[13] ὁ[14] Ιησους, "Αφ'
ἑαυτου[15] συ τουτο λεγεις, ἢ αλλοι σοι ειπον[16] περι εμου?" 35 Απεκριθη ὁ Πιλατος: "Μητι
εγω Ιουδαιος ειμι? Το εθνος το σον, και οἱ αρχιερεις, παρεδωκαν σε εμοι. Τί εποιησας?"
36 Απεκριθη[17] Ιησους: "'Η βασιλεια ἡ εμη ουκ εστιν εκ του κοσμου τουτου. Ει εκ του κοσ-
μου τουτου ἦν ἡ βασιλεια ἡ εμη, οἱ ὑπηρεται αν οἱ εμοι ηγωνιζοντο,[18] ἵνα μη παραδοθω
τοις Ιουδαιοις· *νυν* δε ἡ βασιλεια ἡ εμη ουκ εστιν εντευθεν." 37 Ειπεν ουν αυτω ὁ Πιλατος,
"Ουκοῦν βασιλευς εἶ συ?" Απεκριθη[19] Ιησους: "Συ λεγεις ὅτι βασιλευς ειμι εγω·[20] εγω εις
τουτο γεγεννημαι. Και εις τουτο εληλυθα εις τον κοσμον, ἵνα μαρτυρησω τη Αληθεια. Πας
ὁ ων εκ της Αληθειας ακουει μου της φωνης." 38 Λεγει αυτω ὁ Πιλατος, "Τί εστιν
αληθεια?"[21]

[Barabbas]

Και τουτο ειπων παλιν εξηλθεν προς τους Ιουδαιους και λεγει αυτοις: "Εγω
ουδεμιαν αιτιαν εὑρισκω εν αυτω.[22] 39 Εστιν δε συνηθεια ἡμιν[23] ἵνα ἑνα ὑμιν απολυσω[24]

---

[1] ο **f[35]** ℵN [75%] CP,HF,RP,OC,TR || --- A,B,C,W [25%] NU
[2] ουν *rell* || --- [25%]
[3] πρωι **f[35]** ℵA,B,C,W [30%] CP,HF,RP,OC,NU || πρωια N [70%] TR
[4] αλλ ινα **f[35]** [98%] CP,HF,RP,OC,TR || αλλα ℵA,B,C,N,W [2%] NU
[5] ο πιλατος προς αυτους **f[35]** (A) [90%] CP,HF,RP,OC,TR || 12 εξω 34 (B,C) [9%] NU || ~ 3412 εξω ℵ(W) || 1234 εξω N [1%]
[6] ειπεν **f[35]** A,N [98%] CP,HF,RP,OC,TR || φησιν P[66]ℵB,C,W [2%] NU
[7] κατα **f[35]** P[66]A,C,N,W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- ℵB [0.5%]
[8] ειπον **f[35]** A,W [99.5%] CP,HF,RP,OC,TR || ειπαν ℵB,C,N [0.5%] NU
[9] κακοποιος **f[35]** A,N [99%] CP,HF,RP,OC,TR || κακοποιων C [0.5%] || κακον ποιων B,W [0.5%] NU || κακον ποιησας ℵ
[10] ουν **f[35]** ℵW [97%] CP,HF,RP,OC,TR || δε A,N [2.5%] || --- B,C [0.5%] NU
[11] εμελλεν **f[35]** [70%] CP || ημελλεν ℵA,B,C,N,W [30%] HF,RP,OC,TR,NU
[12] εις το πραιτωριον παλιν **f[35]** ℵA(N) [97%] CP,HF,RP,OC,TR || ~ 4123 P[66v]B,C,W [3%] NU
[13] αυτω **f[35]** ℵ [90%] CP,HF,RP,OC,TR || --- P[66]A,B,C,N,W [10%] NU
[14] ο **f[35]** ℵA,C,N,W [99.5%] CP,HF,RP,OC,TR || --- P[66v]B [0.5%] NU
[15] αφ εαυτου **f[35]** A,W [99%] CP,HF,RP,OC,TR || απο σεαυτου P[66]ℵB,C,N [1%] NU
[16] σοι ειπον **f[35]** ℵA(N) [99.5%] CP,HF,RP,OC,TR || ~ 21 B,C,W [0.5%] NU || ~ ειπεν 1 P[66]
[17] απεκριθη *rell* || 1 ο N [5%] TR
[18] αν οι εμοι ηγωνιζοντο **f[35]** A,N [97%] CP,HF,RP,OC,TR || ~ 2341 ℵW [3%] [NU] || 234 B
[19] απεκριθη **f[35]** W [50%] HF,RP,OC || 1 ο ℵA,B,N [50%] CP,TR,NU
[20] εγω **f[35]** A,N,W[v] [99%] CP,HF,RP,OC,TR || --- ℵB [1%] NU
[21] [Comparing John with Luke 23:4-12, it appears that it was at this point that Jesus was sent to Herod.]
[22] αιτιαν ευρισκω εν αυτω **f[35]** ℵA,N,W [99.5%] CP,HF,RP,OC,TR || ~ 2341 B [0.5%] NU || ~ 2134 P[66]
[23] ημιν **f[35]** [20%] || υμιν ℵA,B,W [80%] CP,HF,RP,OC,TR,NU || υμων N [Really now, would Rome release a prisoner based on a Jewish demand? This was evidently a bit of 'pub rel' that Rome had decided to do.]
[24] υμιν απολυσω **f[35]** A(N) [85%] CP,HF,RP,OC,TR || ~ 21 ℵB [2%] NU || ημιν 2 [13%] || ~ απολυω 1 W

εν τω Πασχα. Βουλεσθε ουν ὑμιν απολυσω[1] τον Βασιλεα των Ιουδαιων?" 40 Εκραυγασαν
ουν[2] παντες,[3] λεγοντες, "Μη τουτον, αλλα τον Βαραββαν!" Ἠν δε ὁ Βαραββας ληστης!

*[Soldiers mock Jesus]*

**19**.1 Τοτε ουν ελαβεν ὁ Πιλατος τον Ιησουν και εμαστιγωσεν. 2 Και οἱ στρατιωται
πλεξαντες στεφανον εξ ακανθων επεθηκαν αυτου τη κεφαλη· και ἱματιον πορφυρουν περι-
εβαλον αυτον[4] 3 και ελεγον, "Χαιρε, ὁ Βασιλευς των Ιουδαιων!" Και εδιδουν[5] αυτω
ῥαπισματα.

*["Behold the Man!"]*

4 Εξηλθεν ουν[6] παλιν εξω ὁ Πιλατος και λεγει αυτοις, "Ιδε, αγω ὑμιν αυτον εξω
ἱνα γνωτε ὁτι εν αυτω ουδεμιαν αιτιαν εὑρισκω".[7] 5 Εξηλθεν ουν ὁ Ιησους εξω, φορων
τον ακανθινον στεφανον και το πορφυρουν ἱματιον· και λεγει αυτοις, "Ιδε,[8] ὁ ανθρωπος!"
6 Ὁτε ουν ειδον αυτον οἱ αρχιερεις και οἱ ὑπηρεται, εκραυγασαν λεγοντες, "Σταυρωσον,
σταυρωσον αυτον!"[9] Λεγει αυτοις ὁ Πιλατος, "Λαβετε αυτον ὑμεις και σταυρωσατε, εγω
γαρ ουχ εὑρισκω εν αυτω αιτιαν". 7 Απεκριθησαν αυτω οἱ Ιουδαιοι, "'Ημεις νομον εχομεν,
και κατα τον νομον ἡμων[10] οφειλει αποθανειν, ὁτι ἑαυτον Υἱον Θεου[11] εποιησεν!"

*[Pilate and Jesus again]*

8 Ὁτε ουν ηκουσεν ὁ Πιλατος τουτον τον λογον, μαλλον εφοβηθη, 9 και εισηλθεν
εις το πραιτωριον παλιν και λεγει τω Ιησου, "Ποθεν εἶ συ?" Ὁ δε Ιησους αποκρισιν ουκ
εδωκεν αυτω. 10 Λεγει ουν αυτω ὁ Πιλατος: "Εμοι ου λαλεις? Ουκ οιδας ὁτι εξουσιαν εχω
σταυρωσαι σε και εξουσιαν εχω απολυσαι[12] σε?" 11 Απεκριθη[13] Ιησους:[14] "Ουκ ειχες εξουσιαν
ουδεμιαν κατ' εμου[15] ει μη ἦν σοι δεδομενον[16] Ανωθεν. Δια τουτο ὁ παραδιδους[17] με σοι
μειζονα ἁμαρτιαν εχει."

*[The Jews best Pilate]*

12 Εκ τουτου εζητει ὁ Πιλατος[18] απολυσαι αυτον· οἱ δε Ιουδαιοι εκραζον[19] λεγον-
τες: "Εαν τουτον απολυσης, ουκ εἶ φιλος του Καισαρος! Πας ὁ βασιλεα ἑαυτον[20] ποιων
αντιλεγει τω Καισαρι!" 13 Ὁ ουν Πιλατος ακουσας τουτον τον λογον[21] ηγαγεν εξω τον
Ιησουν και εκαθισεν επι του[22] βηματος, εις τοπον λεγομενον Λιθοστρωτον, Ἑβραιστι δε

---

[1] υμιν απολυσω **f**$^{35}$ [90%] CP,HF,RP,OC,TR || ~ 21 P$^{66}$ℵA,B,N,W [10%] NU
[2] ουν **f**$^{35}$ N [40%] CP || 1 παλιν ℵA,B,W [60%] HF,RP,OC,TR,NU
[3] παντες **f**$^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || --- ℵB,W [1%] NU
[4] αυτον **f**$^{35}$ A [80%] CP,HF,RP,OC,TR || αυτω [10%] || 1 και ηρχοντο προς 1 P$^{66,90}$ℵB,N,W [10%] NU
[5] εδιδουν **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || εδιδοσαν P$^{66}$ℵB,N,W [2%] NU
[6] εξηλθεν ουν **f**$^{35}$ N,W [96%] CP,HF,RP,OC,TR || ~ και 1 A,B [2%] NU || 1 ℵ [2%]
[7] εν αυτω ουδεμιαν αιτιαν ευρισκω **f**$^{35}$ N [96.5%] CP,HF,RP,OC,TR || ~ 34512 B [1%] NU || ~ 31245 A || ~ 412 ουχ 5 P$^{66v}$W || 4 ουχ 5 ℵ || at least five further variants [2%]
[8] ιδε **f**$^{35}$ A,N [98%] CP,HF,RP,OC,TR || ιδου ℵB,W [2%] NU || --- (P$^{66}$)
[9] αυτον **f**$^{35}$ ℵA,N [90%] CP,HF,RP,OC || --- (P$^{66}$)B,W [10%] TR,NU
[10] ημων **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵB(N)W [1%] NU
[11] εαυτον υιον θεου **f**$^{35}$ A,N [72%] CP,RP || ~ 132 [20%] HF,OC || ~ 231 P$^{66}$ℵB [3%] NU || 12 του 3 [5%] TR || ~ 2 του 31 W
[12] σταυρωσαι σε και εξουσιαν εχω απολυσαι **f**$^{35}$ W [99.5%] CP,HF,RP,OC,TR || ~ 623451 ℵA,B(N) [0.5%] NU
[13] απεκριθη **f**$^{35}$ A,N [98%] CP,HF,RP,OC,TR || 1 αυτω ℵB,W [2%] [NU]
[14] ιησους **f**$^{35}$ B [90%] CP,HF,RP,OC,NU || ο 1 ℵA,N,W [10%] TR
[15] ουδεμιαν κατ εμου **f**$^{35}$ A,N [96%] CP,HF,RP,OC,TR || ~ 231 P$^{66v}$ℵB,W [4%] NU
[16] σοι δεδομενον **f**$^{35}$ A,N [99.5%] CP,HF,RP,OC,TR || ~ 21 P$^{66}$ℵB,W [0.5%] NU
[17] παραδιδους **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,OC,TR || παραδους ℵB [0.5%] NU
[18] εζητει ο πιλατος **f**$^{35}$ (A)N [98%] CP,HF,RP,OC,TR || ~ 231 P$^{66v}$ℵ(B,W) [2%] NU
[19] εκραζον **f**$^{35}$ [89%] CP,HF,RP,OC,TR || εκραυγαζον A,N,W [10%] || εκραυγασαν P$^{66v}$B [1%] NU || ελεγον (ℵ)
[20] εαυτον *rell* || αυτον [5%] TR
[21] τουτον τον λογον **f**$^{35}$ N [50%] CP,HF,RP,OC,TR || τουτων των λογων [47%] || των λογων τουτων ℵA,B,W [2%] NU || ~ 231 [1%]
[22] του **f**$^{35}$ W [97%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵA,B,N [3%] NU

Γαβαθα[1] 14 (ἦν δε Παρασκευη του Πασχα· ὡρα ἦν[2] ὡσει[3] ἑκτη), και λεγει τοις Ιουδαιοις,
"Ἰδε, ὁ Βασιλευς ὑμων!" 15 Οἱ δε εκραυγασαν,[4] "Αρον, αρον! Σταυρωσον αυτον!" Λεγει
αυτοις ὁ Πιλατος, "Τον Βασιλεα ὑμων σταυρωσω?" Απεκριθησαν οἱ αρχιερεις, "Ουκ εχομεν
βασιλεα ει μη Καισαρα!" 16 Τοτε ουν παρεδωκεν αυτον αυτοις ἱνα σταυρωθη.

*[Jesus is crucified]*

Παρελαβον δε[5] τον Ιησουν και ηγαγον.[6] 17 Και βασταζων τον σταυρον αυτου[7]
εξηλθεν εις τον[8] λεγομενον Κρανιου τοπον, ὃς[9] λεγεται Ἑβραιστι, Γολγοθα, 18 ὁπου αυτον
εσταυρωσαν, και μετ' αυτου αλλους δυο, εντευθεν και εντευθεν, μεσον δε τον Ιησουν.
19 Εγραψεν δε και τιτλον ὁ Πιλατος, και εθηκεν επι του σταυρου. Ἦν δε γεγραμμενον:

ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ

20 Τουτον ουν τον τιτλον πολλοι ανεγνωσαν των Ιουδαιων, ὁτι εγγυς ἦν ὁ τοπος της
πολεως[10] ὁπου εσταυρωθη ὁ Ιησους· και ἦν γεγραμμενον Ἑβραιστι, Ἑλληνιστι, Ῥωμα-
ιστι.[11] 21 Ελεγον ουν τω Πιλατω οἱ αρχιερεις των Ιουδαιων, "Μη γραφε, 'Ο Βασιλευς
των Ιουδαιων', αλλ' ὁτι εκεινος ειπεν, 'Βασιλευς ειμι των Ιουδαιων'." 22 Απεκριθη ὁ
Πιλατος, "Ὃ γεγραφα, γεγραφα!"

[Psalm 22:18 is fulfilled]

23 Οἱ ουν στρατιωται, ὁτε εσταυρωσαν τον Ιησουν, ελαβον τα ἱματια αυτου και
εποιησαν τεσσαρα μερη, ἑκαστω στρατιωτη μερος, και τον χιτωνα. Ἦν δε ὁ χιτων
αρραφος,[12] εκ των ανωθεν ὑφαντος δι' ὁλου. 24 Ειπον[13] ουν προς αλληλους, "Μη σχισω-
μεν αυτον αλλα λαχωμεν περι αυτου, τίνος εσται", ἱνα ἡ Γραφη πληρωθη ἡ λεγουσα:[14]
"Διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον." Οἱ μεν
ουν στρατιωται ταυτα εποιησαν.

*[Jesus provides for His mother]*

25 Εἱστηκεισαν δε παρα τω σταυρω του Ιησου ἡ μητηρ αυτου, και ἡ αδελφη της
μητρος αυτου, Μαρια ἡ του Κλωπα, και Μαρια ἡ Μαγδαληνη. 26 Ιησους ουν, ιδων την
μητερα, και τον μαθητην παρεστωτα ὃν ηγαπα, λεγει τη μητρι αυτου,[15] "Γυναι, ιδε[16] ὁ υἱος
σου!" 27 Ειτα λεγει τω μαθητη, "Ιδου[17] ἡ μητηρ σου!" Και απ' εκεινης της ὡρας ελαβεν ὁ
μαθητης αυτην[18] εις τα ιδια.

*[The shout of victory]*

---

1 γαβαθα **f35** [50%] CP || γαββαθα A,B,N,W [49%] HF,RP,OC,TR,NU || γολγοθα ℵ || καπφαθα [1%]

2 ην **f35** ℵA,B,N,W [40%] NU || δε [60%] CP,HF,RP,OC,TR || --- P66

3 ωσει **f35** N [60%] CP,HF,RP,OC,TR || ως ℵA,B,W [40%] NU || --- P66

4 οι δε εκραυγασαν **f35** [98%] CP,HF,RP,OC,TR || 12 εκραυγασον A || 12 εκραυγαζον [1%] || 12 εκραυγαζον λεγοντες N || 12 ελεγον P66vℵW [0.5%] || 3 ουν εκεινοι B [0.5%] NU

5 παρελαβον δε **f35** A [96%] CP,HF,RP,OC,TR || 1 ουν B [0.5%] NU || ~ οι 2 λαβοντες ℵ || ~ οι 2 παραλαβοντες N,W [3%] || two other variants

6 και ηγαγον **f35** [91.5%] CP,HF,RP,OC || 1 απηγαγον A [5%] TR || --- B [0.5%] NU || απηγαγον (ℵ)N,W [2%] || 1 επεθηκαν [1%]

7 τον σταυρον αυτου **f35** [96%] CP,HF,RP,OC,TR || 12 εαυτου A,N [1.5%] || ~ αυτω 12 B [0.5%] || ~ εαυτω 12 ℵW [1%] NU || one other variant [1%] || P66 has a long omission

8 τον **f35** ℵA,B,N,W [50%] CP,OC,TR,NU || τοπον P66 [50%] HF,RP

9 ος **f35** N [99%] CP,HF,RP,OC,TR || ο P66ℵA,B,W [1%] NU

10 ο τοπος της πολεως **f35** P66A,B,N [90%] CP,HF,RP,NU || ~ 3412 W [10%] OC,TR || ℵ omits verses 20-21

11 ελληνιστι ρωμαιστι **f35** A [98.5%] CP,HF,RP,OC,TR || ~ 21 B,N [0.5%] NU || ~ 2 εβραειστι W || omit whole clause [1%]

12 αρραφος **f35** B [40%] CP,OC,TR,NU || αραφος ℵA,N,W [60%] HF,RP

13 ειπον **f35** A,B,N [99%] CP,HF,RP,OC,TR || ειπαν ℵW [0.5%] NU || ειπεν [0.5%]

14 η λεγουσα **f35** A,N,W [99.8%] CP,HF,RP,OC,TR[NU] || --- ℵB

15 αυτου **f35** A,N [98.5%] CP,HF,RP,OC,TR || --- ℵB,W [1.5%] NU

16 ιδε **f35** B,N [60%] CP,HF,OC,NU || ιδου ℵA,W [40%] RP,TR

17 ιδου **f35** A [98%] CP,HF,RP,OC,TR || ιδε ℵB,N,W [2%] NU

18 ο μαθητης αυτην **f35** P66vA,B,N [90%] HF,RP,OC,NU || ~ 312 ℵW [8%] TR || ~ 312 εκεινος [2%] CP

28 Μετα τουτο, ειδως ὁ Ιησους[1] ὁτι ηδη παντα[2] τετελεσται, ἱνα τελειωθη ἡ Γραφη, λεγει, "Διψω!" 29 Σκευος ουν[3] εκειτο οξους μεστον· οἱ δε, πλησαντες σπογγον οξους, και[4] ὑσσωπω περιθεντες, προσηνεγκαν αυτου τω στοματι. 30 Ὁτε ουν ελαβεν το οξος ὁ Ιησους,[5] ειπεν, "Τετελεσται!" Και κλινας την κεφαλην, παρεδωκεν το πνευμα.

*[A soldier spears His side]*

31 Οἱ ουν Ιουδαιοι, ἱνα μη μεινη επι του σταυρου τα σωματα εν τω σαββατω, επει Παρασκευη ἠν[6] (ἠν γαρ μεγαλη ἡ[7] ἡμερα εκεινου[8] του σαββατου), ηρωτησαν τον Πιλατον ἱνα κατεαγωσιν αυτων τα σκελη, και αρθωσιν. 32 Ηλθον ουν οἱ στρατιωται και του μεν πρωτου κατεαξαν τα σκελη και του αλλου του συσταυρωθεντος αυτω. 33 Επι δε τον Ιησουν ελθοντες, ὡς ειδον αυτον ηδη[9] τεθνηκοτα, ου κατεαξαν αυτου τα σκελη. 34 Αλλ' εἱς των στρατιωτων λογχη αυτου την πλευραν ενυξεν, και ευθεως εξηλθεν[10] αἱμα και ὑδωρ. 35 Και ὁ ἑωρακως μεμαρτυρηκεν, και αληθινη εστιν ἡ μαρτυρια αυτου,[11] (κακεινος[12] οιδεν ὁτι αληθη λεγει), ἱνα[13] ὑμεις πιστευσητε.[14] 36 Εγενετο γαρ ταυτα ἱνα ἡ Γραφη πληρωθη, "Οστουν ου συντριβησεται απ'[15] αυτου." 37 Και παλιν ἑτερα Γραφη λεγει: "Οψονται εις ὃν εξεκεντησαν."

*[Jesus is buried]*

38 Μετα[16] ταυτα ηρωτησεν τον Πιλατον[17] Ιωσηφ, ὁ[18] απο Αριμαθαιας (ων μαθητης του Ιησου, κεκρυμμενος δε δια τον φοβον των Ιουδαιων), ἱνα αρη το σωμα του Ιησου· και επετρεψεν ὁ Πιλατος. Ηλθεν ουν και ηρεν το σωμα του Ιησου.[19] 39 Ηλθεν δε και Νικοδημος (ὁ ελθων προς τον Ιησουν[20] νυκτος το πρωτον), φερων μιγμα σμυρνης και αλοης, ὡς[21] λιτρας ἑκατον. 40 Ελαβον ουν το σωμα του Ιησου και εδησαν αυτο εν[22] οθονιοις, μετα των αρωματων, καθως εθος εστιν τοις Ιουδαιοις ενταφιαζειν. 41 Ἠν δε εν τω τοπω ὁπου εσταυρωθη κηπος, και εν τω κηπω μνημειον καινον εν ᾧ ουδεπω ουδεις ετεθη.[23] 42 Εκει ουν, δια την Παρασκευην των Ιουδαιων, ὁτι εγγυς ἠν το μνημειον, εθηκαν τον Ιησουν.

## [Resurrection Day]

*[The empty tomb]*

**20**.1 Τη δε μια των σαββατων Μαρια ἡ Μαγδαληνη ερχεται πρωι, σκοτιας ετι ουσης, εις το μνημειον και βλεπει τον λιθον ηρμενον εκ του μνημειου. 2 Τρεχει ουν και ερχεται

[1] ειδως ο ιησους $\mathbf{f}^{35}$ אA,W [70%] CP,OC,TR,NU || ιδως 23 N || ιδων 23 [30%] HF,RP || ~ 31 B
[2] ηδη παντα $\mathbf{f}^{35}$ $P^{66}$A,B [30%] NU || ~ 21 אN [60%] CP,HF,RP,OC,TR || 2 W [10%]
[3] ουν $\mathbf{f}^{35}$ N [99%] CP,HF,RP,OC,TR || δε א || --- A,B,W [1%] NU
[4] οι δε πλησαντες σπογγον οξους και $\mathbf{f}^{35}$ A,N [99%] CP,HF,RP,OC,TR || 4 ουν μεστον του (-τ. א) 5 $P^{66v}$(א)B,W [1%] NU
[5] ο ιησους $\mathbf{f}^{35}$ A,N [99.8%] CP,HF,RP,OC,TR[NU] || 2 B,W || --- א
[6] ινα μη μεινη επι του σταυρου τα σωματα εν τω σαββατω επει παρασκευη ην $\mathbf{f}^{35}$ A,N [97%] CP,HF,RP,OC,TR || ~ 12-14,1-11 $P^{66}$אB,W [3%] NU
[7] η *rell* || --- אA,W [20%]
[8] εκεινου *rell* || εκεινη B [20%] CP,some TRs
[9] αυτον ηδη $\mathbf{f}^{35}$ אA,N [99.5%] CP,HF,RP,OC,TR || ~ 21 $P^{66}$B,W [0.5%] NU
[10] ευθεως εξηλθεν $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,OC || ευθυς 2 A [9%] TR || ~ 2 ευθυς $P^{66}$אB,N,W [1%] NU
[11] εστιν η μαρτυρια αυτου $\mathbf{f}^{35}$ [30%] CP || ~ 1423 $P^{66v}$N [65%] HF,RP || ~ 4123 אA,B,W [5%] OC,TR,NU
[12] κακεινος $\mathbf{f}^{35}$ אA(N) [99%] CP,HF,RP,OC,TR || και εκεινος B,W [1%] NU
[13] ινα $\mathbf{f}^{35}$ [80%] CP,HF,RP,TR || 1 και $P^{66}$אA,B,N,W [20%] OC,NU (OC has small print.)
[14] πιστευσητε $\mathbf{f}^{35}$ A,N [99%] CP,HF,RP,OC,TR[NU] || πιστευητε אB [0.5%] || πιστευσηται W [0.5%]
[15] απ $\mathbf{f}^{35}$ א [60%] CP,RP || --- A,B,N,W [40%] HF,OC,TR,NU [The force of the preposition would be partitive.]
[16] μετα $\mathbf{f}^{35}$ [90%] CP,HF,RP || 1 δε אA,B,N,W [10%] OC,TR,NU
[17] πιλατον $\mathbf{f}^{35}$ אB,N,W [70%] CP,RP,OC,NU || 1 ο A [30%] HF,TR
[18] ο $\mathbf{f}^{35}$ אN,W [99%] CP,HF,RP,OC,TR[NU] || --- $P^{66}$A,B [1%]
[19] το σωμα του ιησου $\mathbf{f}^{35}$ N [99%] CP,HF,RP,OC,TR || 12 αυτου $P^{66}$B [0.5%] NU || αυτον אW || A [0.5%] omit a whole line [homoioteleuton]
[20] τον ιησουν $\mathbf{f}^{35}$ אN,W [99%] CP,HF,RP,OC,TR || αυτον $P^{66v}$A,B [1%] NU
[21] ως $\mathbf{f}^{35}$ אB [80%] CP,HF,RP,OC,NU || ωσει $P^{66}$A,N,W [20%] TR
[22] εν $\mathbf{f}^{35}$ A [90%] CP,HF,RP,OC || --- $P^{66}$אB,N,W [10%] TR,NU
[23] ετεθη $\mathbf{f}^{35}$ A(N) [99.5%] CP,HF,RP,OC,TR || ην τεθειμενος אB [0.5%] NU

προς Σιμωνα Πετρον, και προς τον αλλον μαθητην, ὃν εφιλει ὁ Ιησους, και λεγει αυτοις, “Ηραν τον Κυριον εκ του μνημειου, και ουκ οιδαμεν που εθηκαν αυτον!” 3 Εξηλθεν ουν ὁ Πετρος και ὁ αλλος μαθητης και ηρχοντο εις το μνημειον. 4 Ετρεχον δε οἱ δυο ὁμου, και ὁ αλλος μαθητης προεδραμεν ταχιον του Πετρου και ηλθεν πρωτος εις το μνημειον. 5 Και παρακυψας βλεπει κειμενα τα οθονια, ου μεντοι εισηλθεν. 6 Ερχεται ουν[1] Σιμων Πετρος ακολουθων αυτω, και εισηλθεν εις το μνημειον, και θεωρει τα οθονια κειμενα, 7 και το σουδαριον ὃ ἠν επι της κεφαλης αυτου, ου μετα των οθονιων κειμενον, αλλα χωρις εντετυλιγμενον εις ἑνα τοπον.

[John sees and believes]

8 Τοτε ουν εισηλθεν και ὁ αλλος μαθητης, ὁ ελθων πρωτος εις το μνημειον, και ειδεν και επιστευσεν. 9 (Ουδεπω γαρ ηδεισαν την Γραφην, ὁτι δει αυτον εκ νεκρων αναστηναι.) 10 Απηλθον ουν παλιν προς ἑαυτους[2] οἱ μαθηται.

*[Jesus appears first to Magdalene]*

11 Μαρια δε εἱστηκει προς τω μνημειω[3] κλαιουσα εξω.[4] Ὡς ουν εκλαιεν, παρεκυψεν εις το μνημειον. 12 Και θεωρει δυο αγγελους εν λευκοις καθεζομενους, ἑνα προς τη κεφαλη και ἑνα προς τοις ποσιν, ὁπου εκειτο το σωμα του Ιησου. 13 Και λεγουσιν αυτη εκεινοι, “Γυναι, τί κλαιεις?” Λεγει αυτοις, “‘Οτι ηραν τον κυριον μου, και ουκ οιδα που εθηκαν αυτον”. 14 Και[5] ταυτα ειπουσα εστραφη εις τα οπισω και θεωρει τον Ιησουν ἑστωτα, και ουκ ηδει ὁτι[6] Ιησους εστιν. 15 Λεγει αυτη ὁ[7] Ιησους: “Γυναι, τί κλαιεις? Τίνα ζητεις?” Εκεινη, δοκουσα ὁτι ὁ κηπουρος εστιν, λεγει αυτω, “Κυριε, ει συ εβαστασας αυτον, ειπε μοι που εθηκας αυτον,[8] καγω αυτον αρω”. 16 Λεγει αυτη ὁ[9] Ιησους, “Μαρια!”[10] Στραφεισα εκεινη, λεγει αυτω,[11] “‘Ραβουνι!”[12] (ὃ λεγεται, Διδασκαλε). 17 Λεγει αυτη ὁ[13] Ιησους: “Μη μου ἁπτου· ουπω γαρ αναβεβηκα προς τον Πατερα μου·[14] πορευου δε προς τους αδελφους μου και ειπε αυτοις, ‘Αναβαινω προς τον Πατερα μου και Πατερα ὑμων, και Θεον μου και Θεον ὑμων’.” 18 Ερχεται Μαρια[15] ἡ Μαγδαληνη απαγγελλουσα[16] τοις μαθηταις ὁτι ἑωρακεν[17] τον Κυριον, και ταυτα ειπεν αυτη.

*[Disciples commissioned]*

19 Ουσης ουν οψιας, τη ἡμερα εκεινη τη μια των[18] σαββατων, και των θυρων κεκλεισμενων ὁπου ησαν οἱ μαθηται συνηγμενοι,[19] δια τον φοβον των Ιουδαιων, ηλθεν ὁ Ιησους και εστη εις το μεσον, και λεγει αυτοις, “Ειρηνη ὑμιν!” 20 Και τουτο ειπων εδειξεν αυτοις τας χειρας και την πλευραν αυτου.[20] Εχαρησαν ουν οἱ μαθηται ιδοντες τον Κυριον!

---

[1] ουν **f**$^{35}$ A,N [99.5%] CP,HF,RP,OC,TR || 1 και P$^{66}$B(W) [0.5%] NU || ℵ omits a whole verse

[2] εαυτους **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,OC,TR || αυτους ℵB [0.5%] NU || N omits verse 10

[3] τω μνημειω **f**$^{35}$ P$^{66v}$ℵA,B,N,W [50%] OC,NU || το μνημειον [50%] CP,HF,RP,TR [The dative is correct; she was ‘at’ the tomb.]

[4] κλαιουσα εξω **f**$^{35}$ [75%] CP,HF,RP,OC,TR || ~ 21 B,N,W [25%] NU || 1 ℵA

[5] και **f**$^{35}$ [96%] CP,HF,RP,OC,TR || --- ℵA,B,D,N,W [4%] NU

[6] οτι *rell* || 1 ο [5%] TR

[7] ο **f**$^{35}$ A,D,N [99.5%] CP,HF,RP,OC,TR || --- P$^{66}$ℵB,W [0.5%] NU

[8] εθηκας αυτον *rell* || ~ 21 N [20%] TR

[9] ο **f**$^{35}$ ℵA,N,W [99.5%] CP,HF,RP,OC,TR || --- B,D [0.5%] NU

[10] μαρια **f**$^{35}$ A,D [98.5%] CP,HF,RP,OC,TR || μαριαμ ℵB,N,W [1.5%] NU

[11] αυτω **f**$^{35}$ A [99%] CP,HF,RP,OC,TR || 1 εβραιστι ℵB,D,N,W [1%] NU

[12] ραβουνι **f**$^{35}$ [50%] CP || ραββουνι ℵA,B,D(N)W [50%] HF,RP,OC,TR,NU

[13] ο **f**$^{35}$ ℵA,N,W [99.5%] CP,HF,RP,OC,TR || --- B,D [0.5%] NU

[14] μου **f**$^{35}$ P$^{66}$A,N [99.5%] CP,HF,RP,OC,TR || --- ℵB,D,W [0.5%] NU

[15] μαρια **f**$^{35}$ A,D,N,W [98.5%] CP,HF,RP,OC,TR || μαριαμ P$^{66}$ℵB [1.5%] NU

[16] απαγγελλουσα **f**$^{35}$ D,N [82%] CP,HF,RP,OC,TR || απαγγελουσα [1%] || αναγγελλουσα W [15%] || αναγγελουσα [1.5%] || αγγελλουσα P$^{66}$ℵA,B [0.3%] N-A || αγγελουσα UBS [corrected in the 4th edition]

[17] εωρακεν **f**$^{35}$ A,D [99.5%] CP,HF,RP,OC,TR || εωρακα (P$^{66}$)ℵB,N,W [0.5%] NU

[18] των **f**$^{35}$ D,N [99.5%] CP,HF,RP,OC,TR || --- ℵA,B,W [0.5%] NU

[19] συνηγμενοι **f**$^{35}$ N [99.5%] CP,HF,RP,OC,TR || --- ℵA,B,D,W [0.5%] NU

[20] αυτοις τας χειρας και την πλευραν αυτου **f**$^{35}$ [97.5%] CP,HF,RP,OC,TR || ~ 234561 ℵD,W,NU || ~ 4234561 A,B || 123456 [1%] || 123 και τους ποδας 4567 [1%] || ~ 1237456 N

21 Ειπεν ουν αυτοις ὁ Ιησους[1] παλιν: "Ειρηνη ὑμιν! Καθως απεσταλκεν με ὁ Πατηρ, καγω πεμπω ὑμας." 22 Και τουτο ειπων ενεφυσησεν και λεγει αυτοις: "Λαβετε Πνευμα Ἁγιον! 23 Αν τινων αφητε τας ἁμαρτιας, αφιενται[2] αυτοις· αν τινων κρατητε, κεκρατηνται."

*[Thomas]*

24 Θωμας δε, εἱς εκ των δωδεκα (ὁ λεγομενος Διδυμος), ουκ ἦν μετ' αυτων ὁτε ηλθεν ὁ[3] Ιησους. 25 Ελεγον ουν αυτω οἱ αλλοι μαθηται, "'Εωρακαμεν τον Κυριον!" Ὁ δε ειπεν αυτοις, "Εαν μη ιδω εν ταις χερσιν αυτου τον τυπον των ἡλων και βαλω τον δακτυλον μου εις τον τυπον των ἡλων, και βαλω την χειρα μου[4] εις την πλευραν αυτου, ου μη πιστευσω!"

26 Και μεθ' ἡμερας οκτω παλιν ησαν εσω οἱ μαθηται αυτου, και Θωμας μετ' αυτων. Ερχεται ὁ Ιησους, των θυρων κεκλεισμενων, και εστη εις το μεσον και ειπεν, "Ειρηνη ὑμιν!" 27 Ειτα λεγει τω Θωμα: "Φερε τον δακτυλον σου ὡδε και ιδε τας χειρας μου· και φερε την χειρα σου και βαλε εις την πλευραν μου. Και μη γινου απιστος αλλα πιστος!" 28 Και[5] απεκριθη[6] Θωμας και ειπεν αυτω, "'Ὁ Κυριος μου και ὁ Θεος μου!" 29 Λεγει αυτω ὁ Ιησους: "'Ὁτι ἑωρακας με,[7] πεπιστευκας. Μακαριοι οἱ μη ιδοντες, και πιστευσαντες."

*[Why this book]*

30 Πολλα μεν ουν και αλλα σημεια εποιησεν ὁ Ιησους ενωπιον των μαθητων αυτου,[8] ἃ ουκ εστιν γεγραμμενα εν τω βιβλιω τουτω· 31 ταυτα δε γεγραπται ἱνα πιστευσητε[9] ὁτι[10] Ιησους εστιν ὁ Χριστος, ὁ Υἱος του Θεου, και ἱνα πιστευοντες ζωην εχητε εν τω ονοματι αυτου.

## [Epilogue]

*[Breakfast on the beach]*

**21**.1 Μετα ταυτα εφανερωσεν ἑαυτον[11] ὁ Ιησους τοις μαθηταις αυτου,[12] εγερθεις εκ νεκρων,[13] επι της θαλασσης της Τιβεριαδος· εφανερωσεν δε οὑτως: 2 Ησαν ὁμου Σιμων Πετρος, και Θωμας (ὁ λεγομενος Διδυμος), και Ναθαναηλ (ὁ απο Κανα της Γαλιλαιας), και οἱ του Ζεβεδαιου, και αλλοι εκ των μαθητων αυτου δυο. 3 Λεγει αυτοις Σιμων Πετρος, "'Ὑπαγω ἁλιευειν". Λεγουσιν αυτω, "Ερχομεθα και ἡμεις συν σοι". Εξηλθον και ενεβησαν[14] εις το πλοιον ευθυς,[15] και εν εκεινη τη νυκτι επιασαν ουδεν.

4 Πρωιας δε ηδη γενομενης,[16] εστη ὁ[17] Ιησους εις τον αιγιαλον· ου μεντοι ηδεισαν οἱ μαθηται ὁτι Ιησους εστιν. 5 Λεγει ουν αυτοις ὁ[18] Ιησους, "Παιδια, μη τι προσφαγιον εχετε?" Απεκριθησαν αυτω, "Ου". 6 Ὁ δε ειπεν αυτοις, "Βαλετε εις τα δεξια μερη του πλοιου το δικτυον, και εὑρησετε". Εβαλον ουν, και ουκετι αυτο ἑλκυσαι ισχυσαν[19] απο του πληθους των ιχθυων! 7 Λεγει ουν ὁ μαθητης εκεινος ὃν ηγαπα ὁ Ιησους τω Πετρω, "'Ὁ

---

[1] ο ιησους **f**$^{35}$ A,B,N [99.5%] CP,HF,RP,OC,TR[NU] || --- ℵD(W) [0.5%]

[2] αφιενται **f**$^{35}$ W [95%] CP,HF,RP,OC,TR || αφεονται (B) [0.5%] || αφεωνται A,D [3%] NU || αφεθησεται ℵ || two other variants

[3] ο **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,OC,TR || --- ℵB,D [0.5%] NU

[4] την χειρα μου **f**$^{35}$ (A)N [98.5%] CP,HF,RP,OC,TR || ~ 312 ℵ(B,W) [0.5%] NU || 12 [1%] || ~ 3 τον δακτυλον D

[5] και **f**$^{35}$ A [97%] CP,HF,RP,OC,TR || --- ℵB,C,D,W [3%] NU

[6] απεκριθη **f**$^{35}$ $P^{66}$A,B,C,D,W [95%] CP,HF,RP,OC,NU || 1 ο ℵ [5%] TR

[7] με *rell* || 1 θωμα [5%] TR

[8] αυτου **f**$^{35}$ $P^{66}$ℵC,D,N,W [90%] CP,HF,RP,OC,TR[NU] || --- A,B [10%]

[9] πιστευσητε **f**$^{35}$ A,C,D [99.5%] CP,HF,RP,OC,TR[NU] || πιστευητε ℵB || πιστευσηται N,W || πιστευηται $P^{66v}$

[10] οτι *rell* || 1 ο [5%] TR

[11] εαυτον **f**$^{35}$ [20%] || 1 παλιν A,B,C,N(W) [80%] CP,HF,RP,OC,TR,NU || παλιν 1 ℵ(D)

[12] αυτου **f**$^{35}$ D [40%] || --- ℵA,B,C,N,W [60%] CP,HF,RP,OC,TR,NU

[13] εγερθεις εκ νεκρων **f**$^{35}$ [25%] || --- ℵA,B,C,D,N,W [75%] CP,HF,RP,OC,TR,NU

[14] ενεβησαν *rell* || ανεβησαν [10%] TR

[15] ευθυς **f**$^{35}$ A [98%] CP,HF,RP,OC,TR || --- ℵB,C,D,N,W [2%] NU

[16] γενομενης *rell* || γινομενης C [10%] || γεινομενης A,B

[17] ο **f**$^{35}$ N [98%] CP,HF,RP,OC,TR || --- ℵA,B,C,D,W [2%] NU

[18] ο **f**$^{35}$ C,D,N [99.5%] CP,HF,RP,OC,TR[NU] || --- ℵB || A omits three words, and W two

[19] ισχυσαν **f**$^{35}$ A(W) [97%] CP,HF,RP,OC,TR || ισχυον ℵB,C,D,N [3%] NU

Κυριος εστιν!" Σιμων ουν Πετρος, ακουσας ὁτι ὁ Κυριος εστιν, τον επενδυτην διεζωσατο
(ἦν γαρ γυμνος) και εβαλεν ἑαυτον εις την θαλασσαν. 8 Οἱ δε αλλοι μαθηται τω πλοιαριω
ηλθον (ου γαρ ησαν μακραν απο της γης, αλλ'[1] ὡς απο πηχων διακοσιων), συροντες το
δικτυον των ιχθυων.

9 Ὡς ουν απεβησαν εις την γην, βλεπουσιν ανθρακιαν κειμενην και οψαριον
επικειμενον, και αρτον. 10 Λεγει αυτοις ὁ Ιησους, "Ενεγκατε απο των οψαριων ὧν επιασατε
νυν". 11 Ανεβη[2] Σιμων Πετρος και εἱλκυσεν το δικτυον επι της γης,[3] μεστον ιχθυων
μεγαλων ἑκατον πεντηκοντατριων· και τοσουτων οντων, ουκ εσχισθη το δικτυον.

12 Λεγει αυτοις ὁ Ιησους, "Δευτε αριστησατε!" Ουδεις δε ετολμα των μαθητων
εξετασαι αυτον, "Συ τίς εἶ?"—ειδοτες ὁτι ὁ Κυριος εστιν. 13 Ερχεται ουν[4] ὁ[5] Ιησους και
λαμβανει τον αρτον και διδωσιν αυτοις, και το οψαριον ὁμοιως.

14 Τουτο ηδη τριτον εφανερωθη ὁ[6] Ιησους τοις μαθηταις αυτου,[7] εγερθεις εκ νεκρων.

*[Jesus reinstates Peter]*

15 Ὁτε ουν ηριστησαν, λεγει τω Σιμωνι Πετρω ὁ Ιησους, "Σιμων Ιωνα,[8] αγαπας
με πλειον[9] τουτων?" Λεγει αυτω, "Ναι, Κυριε, συ οιδας ὁτι φιλω σε". Λεγει αυτω, "Βοσκε
τα αρνια μου". 16 Λεγει αυτω παλιν, δευτερον, "Σιμων Ιωνα,[10] αγαπας με?" Λεγει αυτω,
"Ναι, Κυριε, συ οιδας ὁτι φιλω σε". Λεγει αυτω, "Ποιμαινε τα προβατα μου". 17 Λεγει
αυτω το τριτον, "Σιμων Ιωνα,[11] φιλεις με?" Ελυπηθη ὁ Πετρος ὁτι ειπεν αυτω το τριτον,
"Φιλεις με?" Και ειπεν[12] αυτω: "Κυριε, συ παντα[13] οιδας. Συ γινωσκεις ὁτι φιλω σε!"
Λεγει αυτω ὁ Ιησους:[14] "Βοσκε τα προβατα μου. 18 Αμην, αμην λεγω σοι, ὁτε ἦς νεωτερος
εζωννυες σεαυτον[15] και περιεπατεις ὁπου ηθελες· ὁταν δε γηρασης εκτενεις τας χειρας σου
και αλλος σε ζωσει και οισει ὁπου ου θελεις." 19 (Τουτο δε ειπεν σημαινων ποιω θανατω
δοξασει τον Θεον.) Και τουτο ειπων λεγει αυτω, "Ακολουθει μοι!"

*[About the author]*

20 Επιστραφεις δε[16] ὁ Πετρος βλεπει τον μαθητην ὃν ηγαπα ὁ Ιησους ακολουθουντα
(ὃς και ανεπεσεν εν τω δειπνω επι το στηθος αυτου και ειπεν, "Κυριε, τίς εστιν ὁ παρα-
διδους σε?"). 21 Τουτον[17] ιδων ὁ Πετρος λεγει τω Ιησου, "Κυριε, οὗτος δε τί?" 22 Λεγει
αυτω ὁ Ιησους: "Εαν αυτον θελω μενειν ἑως ερχομαι, τί προς σε? Συ ακολουθει μοι."[18]
23 Εξηλθεν ουν ὁ λογος οὗτος[19] εις τους αδελφους, ὁτι ὁ μαθητης εκεινος ουκ αποθνησκει.
Και ουκ ειπεν[20] αυτω ὁ Ιησους ὁτι ουκ αποθνησκει, αλλ', "Εαν αυτον θελω μενειν ἑως
ερχομαι, τί προς σε?"[21]

---

[1] αλλ $\mathbf{f}^{35}$ $P^{66}$D,N [99.5%] CP,HF,RP,OC,TR || --- ℵA,B,C,W [0.5%] NU

[2] ανεβη $\mathbf{f}^{35}$ A,D [98%] CP,HF,RP,OC,TR || 1 ουν ℵB,C,N,W [2%] NU

[3] επι της γης $\mathbf{f}^{35}$ [96%] CP,HF,RP,OC,TR || εις την γην $P^{122}$ℵA,B,C,N,W [2%] NU || 1 την γην (D) [2%]

[4] ουν $\mathbf{f}^{35}$ A,N [98%] CP,HF,RP,OC,TR || --- $P^{122}$ℵB,C,D,W [2%] NU

[5] ο $\mathbf{f}^{35}$ ℵA,N [99.5%] CP,HF,RP,OC,TR || --- $P^{122}$B,C,D,W [0.5%] NU

[6] ο $\mathbf{f}^{35}$ ℵA,N [99.5%] CP,HF,RP,OC,TR || --- B,C,D(W) [0.5%] NU

[7] αυτου $\mathbf{f}^{35}$ D [98%] CP,HF,RP,OC,TR || --- ℵA,B,C,N,W [2%] NU

[8] ιωνα $\mathbf{f}^{35}$ A,N [99.5%] CP,HF,RP,OC,TR || ιωαννου C,W,NU || ιωανου B,D || --- ℵ

[9] πλειον $\mathbf{f}^{35}$ A(W) [98.5%] CP,HF,RP,OC,TR || πλεον ℵB,C,D [1%] NU || πλιον N || one other variant

[10] ιωνα $\mathbf{f}^{35}$ A,N [99.5%] CP,HF,RP,OC,TR || ιωαννου ℵC,W,NU || ιωανου B,D

[11] ιωνα $\mathbf{f}^{35}$ A,N [99.5%] CP,HF,RP,OC,TR || ιωαννου ℵC(W)NU || ιωανου B,D

[12] ειπεν $\mathbf{f}^{35}$ B,C [98%] CP,HF,RP,OC,TR || λεγει ℵA,D,N,W [2%] NU

[13] συ παντα $\mathbf{f}^{35}$ A [99%] CP,HF,RP,OC,TR || ~ 21 ℵB,C,D(N)W [1%] NU

[14] ο ιησους $\mathbf{f}^{35}$ A,N [99%] CP,HF,RP,OC,TR[NU] || 2 B,C || --- ℵD,W [1%]

[15] σεαυτον *rell* || εαυτον [20%]

[16] δε $\mathbf{f}^{35}$ ℵD,N [99.5%] CP,HF,RP,OC,TR || --- A,B,C,W [0.5%] NU

[17] τουτον $\mathbf{f}^{35}$ A,W [99.5%] CP,HF,RP,OC,TR || 1 ουν ℵB,C,D [0.5%] NU

[18] ακολυθει μοι $\mathbf{f}^{35}$ [98.5%] CP,HF,RP,OC,TR || ~ 21 $P^{122}$ℵA,B,C,D,W [1.5%] NU

[19] ο λογος ουτος $\mathbf{f}^{35}$ A [98.5%] CP,HF,RP,OC,TR || ~ 312 ℵB,C,D,W [1.5%] NU

[20] και ουκ ειπεν $\mathbf{f}^{35}$ A,D [99.5%] CP,HF,RP,OC,TR || ~ 23 δε $P^{122}$ℵB,C,W [0.5%] NU

[21] τι προς σε $\mathbf{f}^{35}$ $P^{109}$A,B,C,W [99.5%] CP,HF,RP,OC,TR[NU] || --- ℵ [0.5%] || 23 D

24 Οὗτος εστιν ὁ μαθητης ὁ μαρτυρων περι τουτων, και[1] γραψας ταυτα· και οιδαμεν
ὅτι αληθης εστιν ἡ μαρτυρια αυτου.[2] 25 Εστιν δε και αλλα πολλα ὅσα[3] εποιησεν ὁ Ιησους,
ἅτινα εαν γραφηται καθ’ ἑν,[4] ουδε[5] αυτον οιμαι τον κοσμον χωρησαι τα γραφομενα βιβλια!
Αμην.[6,7,8]

---

[1] και **f**$^{35}$ ℵA,C,D [99.5%] CP,HF,RP,OC,TR || 1 ο B,W,NU || ο 1 [0.5%]

[2] εστιν η μαρτυρια αυτου **f**$^{35}$ ℵA [99.5%] CP,HF,RP,OC,TR || ~ 4231 B,C,W,NU || ~ 1423 D

[3] οσα **f**$^{35}$ A,D,W [99.5%] CP,HF,RP,OC,TR || α B,C [0.5%] NU || ℵ omits whole verse

[4] καθ’ ἑν *rell* || καθὲν **f**$^{35}$ [30%] [for the record]

[5] ουδε **f**$^{35}$ A,C,W [98.5%] CP,HF,RP,OC,TR || ουδ B,D [1.5%] NU

[6] αμην **f**$^{35}$ [98.5%] CP,HF,RP,OC,TR || --- A,B,C,D,W [1.5%] NU

[7] In the colophons, **f**$^{35}$ [50%] have “published thirty-two years after the ascension of Christ”, or 62 AD. For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**$^{35}$ goes back at least to the 3rd century. If this information is correct, then John was ‘published’ in 62 AD. The same sources have Matthew published eight years after the ascension, or 38 AD, Mark published two years later (40) and Luke another five years later (45). Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or ‘correcting’ something that they remembered differently.

[8] The citation of **f**$^{35}$ is based on the following fifty-seven representative MSS—18, 35, 83, 128, 141, 201, 204, 363, 402, 479, 480, 510, 547, 553, 586, 685, 696, 757, 789, 824, 867, 897, 928, 1072, 1075, 1111, 1117, 1145, 1147, 1334, 1339, 1384, 1435, 1461, 1496, 1503, 1559, 1560, 1572, 1617, 1637, 1652, 1667, 1686, 1694, 1700, 1713, 2122, 2253, 2322, 2352, 2382, 2466, 2503, 2554, 2765 and l.2110. I collated all of them myself, except for 201 that I took from Scrivener. None of them is a ‘perfect’ representative of **f**$^{35}$ in John, as it stands [an unreasonable expectation, presumably, for a book this size, besides being a Gospel], but several come very close (cursive 2382 has only one variant, corrected, so its exemplar was presumably perfect, as was that of 1072). [This refers to the MSS I have collated—there may be even better ones out there. In fact, since I have only collated around 20% of the family representatives for this book, there probably are better ones out there.] The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Aegean, Lesbos, Prinkipos, Bucharest, Athens, Meteora, Tirana, Andros, Mt. Athos [seven different monasteries], Grottaferrata, Corinth?, Bologna, Modena, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *Text und Textwert*, which I take to be reasonably precise. For the variant sets that are not covered there, I referred to Swanson, Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ± 2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ± 4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ± 15%—since my sources had collated a lower percentage of the extant MSS than ECM for the General Epistles, for example, my guesses as to percentages are more tentative than they were there, except that I guarantee the witness of **f**$^{35}$. Please see the last footnote for Matthew for further information.